SCRIITORI GRECI ȘI ROMANI

PRESOCRATICII

FRAGMENTELE ELEAȚILOR

XENOFANES • PARMENIDES • ZENON • MELISSOS

Traducere, prefață și note
de D.M. PIPPIDI

UNIVERSITAS

Titlul: **Fragmentele Eleaţilor**
Copyright © 1998 **Editura Teora**
Toate drepturile asupra acestei cărţi aparţin Editurii Teora.
Reproducerea integrală sau parţială a textului din această carte este posibilă numai cu acordul prealabil scris al Editurii Teora.
UNIVERSITAS este un imprint al Editurii Teora.

Şef de redacţie: Gelu Diaconu
Coperta: Gheorghe Popescu
Director: Teodor Răducanu

NOT 2339 UMA FRAGMENTELE ELEATILOR
ISBN 973-601-813-X
Printed in Romania

Distribuţie:
Bucureşti: B-dul Al. I. Cuza nr. 39; tel./fax: 222.45.33
Sibiu: Şos. Alba Iulia nr. 40; tel.: 069/21.04.72; fax: 069/23.51.27

Teora – Cartea prin poştă
CP 79-30, cod 72450 Bucureşti, România
Tel./fax: 252.14.31
e-mail: cpp@teora.kappa.ro

Teora
CP 79-30, cod 72450 Bucureşti, România
Fax: 210.38.28
e-mail: teora@teora.kappa.ro
Internet: www.teora.ro

Cuprins

Lămurire 7

Xenofanes 13
A) Viața și învățătura 14
B) Fragmente 56
C) Imitații 74

Parmenides 77
A) Viața și învățătura 78
B) Fragmente 114

Zenon 141
A) Viața și învățătura 142
B) Fragmente 172

Melissos 177
A) Viața și învățătura 178
B) Fragmente 206

Note 223

Indice bibliografic 281

Indici alfabetici 283
a) termeni greci 283
b) *notabilia* 284

Prietenilor din clasa de greacă

...ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
γίνεται ὅς κεν ἑταῖρος ἑὼν πεπνυμένα εἰδῇ.

LĂMURIRE

Traducerea de față e opera unui filolog. Autorul ține s-o mărturisească, înainte ca alții să-i facă vină dintr-un neajuns ale cărui urmări e cel dintâi să le deplângă: lipsa unei serioase pregătiri filosofice. În alte țări, asemenea versiuni de monumente ale înțelepciunii antice sunt făcute în mod obișnuit de filosofi, – în orice caz de dascăli de filosofie, – deajuns de buni cunoscători ai limbilor clasice pentru a se lipsi de serviciile colegilor lor grămătici. Asemenea traduceri beneficiază de un interes sporit, în măsura în care – la valoarea dintotdeauna a originalului – se adaugă înțelesul pe care o minte familiarizată cu marile probleme nu poate lipsi să-l descopere acolo unde filologul nu vede decât litera textului. Ca să mă restrâng la domeniul culturii grecești, publicațiile unor Burnet și Reinhardt în Anglia și Germania, Robin și Diès în Franța, sau Calogero în Italia, sunt pilde de interpretări înnoitoare, unind respectul pentru opera studiată cu înțelegerea personală pe care singură o poate prilejui cunoașterea gândirii europene în dezvoltarea ei neîntreruptă.

La noi, unde, cu puține excepții, o greșită întocmire a programelor a împiedicat și continuă să împiedice pe filosofi să citească pe Platon și Aristotel în limba în care au scris, serviciile filologilor – oricât de modeste – își au folosul lor, de vreme ce izbutesc să pună la îndemâna unui public larg texte fără de a căror adâncire, în alte locuri, nici nu se concepe o instrucție demnă de acest nume. Că osteneala lor nu poate avea interesul unei tălmăciri făcute de un filosof, e de la sine înțeles; dar poate că tocmai lipsa-i de strălucire conferă unei asemenea traduceri o calitate care nu-i nici ea de disprețuit, vreau să spun obiectivitatea făcută să înlesnească cititorului situarea operei în climatul ei spiritual firesc, în acea ambianță istorică fără de înțelegerea căreia cea mai originală interpretare e un joc gratuit.

În lipsă de altele, mai puțin comune, e meritul pe care-l revendică versiunea aceasta, pe care autorul ei a voit-o credincioasă, fără ca – din această pricină – să nesocotească acea supremă lege a traducerilor din toate limbile: de a se citi cu ușurință. Chiar pentru un scop atât de modest, piedicile erau însă numeroase, și cine nu-i străin de greutățile oferite de atâtea fragmente din Zenon sau din Parmenides va înțelege pentru ce, în foarte multe cazuri, am ținut să citez în comentariu interpretările felurite ale exegeților celor mai autorizați ai gândirii eleate. Pentru același motiv am găsit util să reproduc în notele mele pasaje uneori întinse din scrierile acelorași comentatori. Într-o țară unde lucrările importante de istorie a filosofiei se găsesc în toate bibliotecile, lucrul n-ar fi fost necesar; la noi, însă, unde și cele mai uzuale tratate se procură anevoie, procedeul mi s-a părut a înlesni orientarea cititorului în hățișul numeroaselor probleme unde slabele mele lumini, singure, nu-i puteau fi de folos.

În această ordine de idei, plătesc o datorie de recunoștință mărturisind ajutorul prețios pe care, în munca mea, l-am găsit în cărțile învățaților italieni Guido Calogero și Pilo Albertelli. Unul cu scânteietoarele-i «Studii asupra Eleatismului», altul cu învățatu-i comentariu la traducerea Fragmentelor (lucrări citate mai departe aproape pe fiecare pagină) mi-au înlesnit considerabil o sarcină care, în alte condiții, ar fi depășit probabil puterile mele. Celelalte scrieri puse la contribuție se găsesc indicate la locul lor (cele mai des folosite, și în bibliografia de la sfârșitul volumului); așijderi traducerile consultate, fie generale, ca aceea a doamnei Maria Cardini, fie parțiale, ca interpretările din Parmenides ale d-lor Untersteiner și Riezler. În sfârșit precizez că textul avut sub ochi e cea de a V-a ediție a «Fragmentelor Presocraticilor» lui Diels, îngrijită de Walther Kranz[1]. Locurile unde am adoptat o lecțiune diferită de a lor sunt arătate în comentariu.

Sinaia, August 1945. D. M. P.

1. *Die Fragmente der Vorsokratiker*, gr. u. d. von Hermann Diels. Fünfte Auflage, herausgegeben von Walther Kranz. Berlin, Weidmann, 1934.

Pentru înlesnirea cititorilor, lămuresc aci câteva din prescurtările cele mai des întrebuințate în sistemul de referințe al mărturiilor (A) și al fragmentelor originale (B):

C. A. F.: *Comicorum Atticorum Fragmenta* edidit Th. Kock, Lipsiae, 1880-1888.

D.: *Doxographi Graeci*. Collegit recensuit prolegomenis indicibusque instruxit H. Diels, Berolini, 1879.

F. Gr. Hist.: *Fragmente der griechischen Historiker* herausg. von Felix Jacoby, Berlin, 1923 și urm.

F. H. G.: *Fragmenta Historicorum Graecorum* ed. C. Müller. Paris, 1841-1884

St. Vet. Fr.: *Stoicorum Veterum Fragmenta* ed. Joannes ab Arnim, Lipsiae, 1902-1905.

Alte culegeri de fragmente – de mare răspândire în lumea specialiștilor – sunt citate numai cu numele editorului. Astfel:

Kern: *Orphicorum Fragmenta*, ed. Otto Kern, Berolini, 1922

Nauck: *Tragicorum Graecorum Fragmenta* ed. A. Nauck, ed. altera, Lipsiae, 1889

XENOFANES

1. DIOG. LAËRT., IX 18 sqq. (18) Ξενοφάνης Δεξίου ἢ, ὡς Ἀπολλόδωρος [FGrHist., 244 F 68 a, II 1039], Ὀρθομένους Κολοφώνιος ἐπαινεῖται πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν [fr. 60 Diels; cf., mai departe, fr. A 35]

5 Ξεινοφάνη θ' ὑπάτυφον Ὁμηραπάτην ἐπικόπτην'.

οὗτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας <διέτριβε καὶ τῆς εἰς Ἐλέαν ἀποικίας κοινωνήσας ἐδίδασκεν ἐκεῖ>, διέτριβε δὲ καὶ ἐν Κατάνῃ. διήκουσε δὲ κατ' ἐνίους μὲν οὐδενός, (κατ' ἐνίους δὲ Βότωνος Ἀθηναίου
10 ἢ, ὥς τινες, Ἀρχελάου). καί, ὡς Σωτίων φησί, κατ' Ἀναξίμανδρον ἦν. γέγραφε δὲ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐρραψώιδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῆι [fr. B 19] καὶ Πυθαγόραι [fr. B
15 7], καθάψασθαι δὲ καὶ Ἐπιμενίδου [fr. B 20], μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν· 'ἤδη ... ἐτύμως' [fr. B 8].

(19) φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δὲ ἀπείρους, οὐ παραλλακτοὺς δέ. τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ
20 εἰς τὸ περιέχον. οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπωι· ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν· σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν

A) VIAȚA ȘI ÎNVĂȚĂTURA

VIAȚA

1. DIOG. LAËRT., IX 18 și urm. (18) **Xenofanes din Colofon, fiul lui Dexios sau, cum pretinde Apollodoros** [FGrHist., 244 F 68 a, II 1039], **al lui Orthomenes, e lăudat de Timon, care zice** [fr. 60 Diels; cf., mai departe, fr. A 35]:

«iar Xenofanes, care fără înfumurare a înfierat minciunile homerice».

Părăsindu-și patria[1], **acesta a trăit în orașul Zancle**[2] **din Sicilia, apoi, luând parte la întemeierea coloniei Elea**[3], **a ținut acolo școală; a trăit și în Catania. După unii, n-a urmat învățătura nici unui dascăl, după alții, pe a atenianului Boton, sau, cum se mai crede, pe a lui Archelaos**[4]. **După spusa lui Sotion, trăia pe vremea lui Anaximandros. A scris versuri epice, apoi elegii și iambi îndreptați împotriva lui Hesiod și a lui Homer, mustrându-i pentru spusele lor în legătură cu zeii. Obișnuia să-și recite singur compunerile poetice**[5]. **Se zice că ar fi propovăduit învățături potrivnice lui Thales** [fr. B 19] **și lui Pythagoras** [fr. B 7], **și că s-ar fi măsurat și cu Epimenides** [fr. B 20]. **A trăit până la adânci bătrânețe, cum spune singur undeva: «sunt de-acum șaizeci și șapte de ani...»** [fr. B 8].

(19) **Zice că elementele din care sunt alcătuite lucrurile sunt patru, că lumile sunt în număr nesfârșit, dar neschimbătoare; că nourii se formează din aburul ridicat de Soare, înălțat în spațiul înconjurător**[6]; **că natura divinității e sferică, neavând nimic asemănătorcu natura omului (în întregimea lui vede și în întregimea lui aude, dar nu respiră)**[7]; **că e tot numai inteligență și înțelepciune**

καὶ ἀίδιον. πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα.

ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι· καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. (20) Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῶι ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός 'εἰκότως' ἔφη· 'σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν' [cf. Emped., fr. A 20 Diels]. φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα [cf., mai jos, fr. B 34], πλανώμενος.

ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν ἔπη δισχίλια [Lobon fr. 17 Crönert]. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν ὀλυμπιάδα [540–537: Apollod., FGrHist., 244 F 68 b, II 1039. Cf., mai departe, fr. B 8, 4]. φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῶι Περὶ γήρως καὶ Παναίτιος ὁ Στωικὸς ἐν τῶι Περὶ εὐθυμίας [fr. 17 Fowler] ταῖς ἰδίας χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ <* καὶ λελύσθαι ὑπὸ> τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτωι [fr. 2, FHG III 577]. γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης Λέσβιος ποιητὴς ἰάμβων.

2. — IX 21. Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης. τοῦτον Θεόφραστος ἐν τῆι Ἐπιτομῆι [fr. 6 a Dox., 482] Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι. Cf. Parm, fr. A 1, mai departe, p. 78.

3. HERACLIT fr. B 40 Diels. πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον.

4. CIC., Acad., II 118 (după Theofrast) *Xenophanes paulo etiam antiquior (Anaxagoras) unum esse omnia.*

5. DIOG. LAËRT., VIII 56 [cf. Emped., fr. A 1 Diels] Ἕρμιππος οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν [Empedocles],

și că e veșnic. A fost cel dintâi care a susținut că tot ce se naște e pieritor și că sufletul e un abur[8].

A mai spus că multiplicitatea lucrurilor e subordonată inteligenței[9] și că, cu tiranii, trebuie să te găsești în raporturi ori cât mai puține, ori cât mai bune. (20) Spunându-i odată Empedocles că înțeleptul e greu de găsit, i-a răspuns: «nici vorbă, de vreme ce înțeleptul trebuie recunoscut de un înțelept» [cf. Emped., fr. A 20 Diels]. Sotion pretinde că el, cel dintâi, ar fi spus că Totul nu poate fi înțeles [cf., mai jos, fr. B 34]; dar se înșeală.

A cântat și întemeierea Colofonului și pe a coloniei Elea din Italia[10] în două mii de versuri [Lobon, fr. 17 Crönert]. Era în floarea vârstei către cea de a șaizecea olympiadă [540-537; Apollod., FGrHist., 244 F 68 b, II 1039. Cf., mai departe, fr. B 8, 4]. Demetrios din Faleron în *Despre bătrânețe* și Panaitios Stoicul în *Despre pacea sufletească* [fr. 17 Fowler] spun că și-ar fi îngropat feciorii cu mâinile lui, ca Anaxagoras. Pare-se că a fost vândut <și răscumpărat[11]> de pythagoricii Parmeniskos și Orestades, după câte spune Favorinus în prima carte a *Memorabilelor* [fr. 2, FGH III, 577]. A mai fost și un alt Xenofanes – din Lesbos – poet iambic.

2. — IX 21. Elev al lui Xenofanes a fost Parmenides, fiul lui Pyres, din Elea. La rândullui, Xenofanes ar fi fost elevullui Anaximandros, după spusa lui Theofrast, în *Prescurtare* [fr. 6 a Dox., 482]. Cf. Parm., fr. A 1, mai departe, p. 79.

3. HERACLIT fr. B 40 Diels. Multa știință de carte nu-l învață pe om să aibă și minte: altfel i-ar fi învățat pe Hesiod[12] și pe Pythagoras, și tot așa pe Xenofanes și pe Hekataios[13].

4. CIC., *Acad.*, II 118 (după Theofrast). Ceva mai înaintea lui [*a lui Anaxagoras*], Xenofanes a spus că Totul e Unu...

5. DIOG. LAËRT., VIII 56 [cf. Emped., fr. A 1 Diels] În schimb, Hermippos afirmă că acesta [*Empedocles*] n-a fost elevul lui

ὧι καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν ἐποποιίαν. Cf., mai sus, fr. A 1 (20).

6. [LUCIAN], Macrob., 20 Ξ. ὁ Δεξίνου μὲν υἱός, Ἀρχελάου δὲ τοῦ φυσικοῦ μαθητὴς ἐβίωσεν ἔτη ἓν καὶ ἐνενήκοντα.

7. CENSORIN., 15, 3 X. *Colophonius maior annorum centum fuit.*

8. CLEM., Strom., I 64 (II 40, 20 St.) τῆς δὲ Ἐλεατικῆς ἀγωγῆς Ξ. ὁ Κολοφώνιος κατάρχει, ὅν φησι Τίμαιος [fr. 92 FHG I 215] κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος [FGrHist, 244 F 68 C II 1039] δὲ κατὰ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα [620–617] γενόμενον παρατετακέναι ἄχρι Δαρείου τε καὶ Κύρου χρόνων. (*Din acelaşi izvor*) SEXT., Adv. math., I 257: Ξ. Κολοφώνιος ἐγένετο περὶ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα [cf., mai jos, fr. B 8].

9. EUSEB., Chron.; a) Ol. 56 [556–3] Ξ. Κολοφώνιος ἐγνωρίζετο. b) Ol. 59–61 [mai exact vers. arm. 60,1=540] Ἴβυκὸς ὁ μελοποιὸς καὶ Φερεκύδης ὁ ἱστοριογράφος καὶ Φωκυλίδης καὶ Ξενοφάνης ὁ φυσικὸς <καὶ Θέσπις> ὁ τραγωιδιῶν ποιητής. Cf., mai sus, fr. A 1.

10. THEOL. Arithm., p. 40 Ast [c. 14, 8 : I 99, 34].

11. PLUT., Reg. apophth., p. 175 C πρὸς δὲ Ξενοφάνην τὸν Κολοφώνιον εἰπόντα μόλις οἰκέτας δύο τρέφειν· 'ἀλλ' Ὅμηρος' εἶπεν (Hieron), 'ὃν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς'.

Parmenides, ci al lui Xenofanes, cu care ar fi avut legături și după pilda căruia și-ar fi compus poemele. Cf., mai sus, fr. A 1 (20).

6. [LUCIAN], *Macrob.*, 20 Xenofanes, fiul lui Dexinos, învățăcel al filosofului naturalist Archelaos, a trăit nouăzeci și unu de ani.

7. CENSORIN., 15, 3. Xenofanes din Colofon a trăit mai mult de o sută de ani.

8. CLEM., *Strom.*, I 64 (II 40, 20 St.) Începutul învățăturii eleatice vine de la Xenofanes din Colofon, despre care Timaios [fr. 92 FGH I 215] spune că ar fi trăit pe vremea lui Hieron[14], regele Siciliei, și a poetului Epicharmos[15]; Apollodoros, în schimb [FGrHist., 244 F 68 C, II 1039], zice că s-ar fi născut în jurul celei de a patruzecea[16] olympiade [620-617] și ar fi trăit până în zilele lui Dareios și ale lui Cyros. (*Din același izvor*) SEXT., *Adv. math.*, I 257: Xenofanes din Colofon s-a născut în jurul celei de a patruzecea olympiade [cf., mai jos, fr. B 8].

9. EUSEB., *Chron.*: a) Ol. 56 [556-3] Se făcea cunoscut Xenofanes din Colofon; b) Ol. 59-61 [mai exact vers. arm. 60, 1 =540] [*Trăiau*] Ibycos[17], poetul melic, și Ferekydes[18] istoricul și Fokylides[19] și Xenofanes, filosoful naturalist <și Thespis[20]> autorul de tragedii. Cf., mai sus, fr. A 1.

10. THEOL. Arithm., p. 40 Ast [c. 14, 8: I 99, 34].

APOFTEGMELE Cf. A 1, *supra*, p. 15

11. PLUT., *Reg. apophth.*, p. 175 C Lui Xenofanes din Colofon, care spunea că abia poate să hrănească doi robi, (Hieron) i-a răspuns: «Iar Homer, pe care-l vorbești de rău[21], și mort hrănește mai mult de zece mii...»[22]

12. ARISTOT., Rhet., B 23, 1399 b 5 ἄλλος [sc. τόπος] ἐκ τοῦ, τὸ συμβαῖνον ἐὰν ἦι ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξ. ἔλεγεν ὅτι 'ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν'· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε.

13. — — B 26, 1400 b 5 οἷον Ξ. Ἐλεάταις ἐρωτῶσιν, εἰ θύωσι τῆι Λευκοθέαι καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν. *Altminteri* PLUTARCH., Amat. 18, 12. 763 D Ξ. Αἰγυπτίοις ἐκέλευσε τὸν Ὄσιριν εἰ θνητὸν νομίζουσι μὴ τιμᾶν ὡς θνητόν, εἰ δὲ θεὸν ἡγοῦνται μὴ θρηνεῖν. De Is. et Os. 70, 379 B εὖ μὲν οὖν Ξ. ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν [Cf. Heracl., fr. B 127]. – De superst., 13, p. 171 E Ξ. ὁ φυσικὸς τοὺς Αἰγυπτίους κοπτομένους ἐν ταῖς ἑορταῖς καὶ θρηνοῦντας ὁρῶν ὑπέμνησεν οἰκείως· 'οὗτοι' φησίν 'εἰ μὲν θεοί εἰσι, μὴ θρηνεῖτε αὐτούς· εἰ δ' ἄνθρωποι, μὴ θύετε αὐτοῖς'. [PS.–PLUTARCH., *Apophth. Lacon.*, 26, p. 228 E].

14. — — A 15, 1377 a 19 καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο.

15. — Metaph., Γ 5, 1010 a 4 διὸ εἰκότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν· οὕτω γὰρ ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην.

16. PLUT., De vit. pud., 5, p. 530 E μὴ δυσωπηθῆις μηδὲ δείσηις σκωπτόμενος, ἀλλ' ὥσπερ Ξ. Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον αὐτῶι συγκυβεύειν δειλὸν ἀποκαλοῦντος

12. ARISTOT., *Rhet.*, B 23, 1399 b 5 **Alt loc retoric e acel întemeiat pe argumentul: dacă urmările sunt aceleași, antecedentele trebuie să fi fostși ele aceleași. De pildă, Xenofanes spunea că «e deopotrivă de nelegiuit să pretinzi că zeii se nasc, sau să susții că mor»; într-un caz și în celălalt concluzia fiind că o vreme nu există zei.**

13. — — B 26, 1400 b 5 **Ca Xenofanes, care, întrebat de locuitorii din Elea dacă trebuie să aducă jertfe Leucotheei și s-o jelească, i-a sfătuit să n-o jelească, dacă o țin drept zeiță, și să nu-i aducă jertfe, dacă o consideră muritoare.** *Altminteri* PLUTARCH., *Amat.*, 18, 12. 736 D: **Xenofanes a sfătuit pe Egipteni să nu-l slăvească pe Osiris, dacă-l cred muritor, pentru că e muritor; iar de-l socot zeu, să nu-l jelească.** – *De Is. et Os.*, 70, 379 B **Bine judeca Xenofanes, celdin Colofon, <când spunea că> egiptenii, dacă-i cred zei, să nu-i jelească, iarde-i jelesc, să nu-i mai creadă zei** [Cf. Heracl., fr. B 127 Diels]. – *Desuperst.*, 13, p. 171 E **Văzândpe Egipteni cum – la sărbătorile lor – se lovesc[23] și se tânguie, Xenofanes, filosoful naturalist, le-a spus pe bună dreptate: «dacă aceștia sunt zei, nu-i jeliți; iar dacă sunt oameni, nu le aduceți jertfe».** [Cf. P5.– PLUTARCH., *Apophth. Lacon.*, 26, p. 228 E].

14. — — A 15, 1377 a 19 **Se potrivește vorba lui Xenofanes, că nu-s condiții egale când un nelegiuit cheamă la jurământ pe un om cu frica divinității, și că aceasta e ca și cum un om voinic ar pofti pe altul slab să dea sau să primească pumni.**

15. — *Metaph.*, Γ 5, 1010 a 4... **motiv pentru care spun lucruri verosimile, dar nu adevărate. Asemenea judecată e, oricum, mai potrivită decât vorba lui Epicharmos despre Xenofanes[24].**

16. PLUT., *De vit. pud.*, 5, p. 530 E **Nu-ți pierde firea și nu te teme, văzându-te luat în râs, ci fă ca Xenofanes, care – în fața lui Lasos din Hermione[25], care-l făcea fricos, pentru că nu voise să**

ὡμολόγει καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος.

17. — *De commun. notit.*, 46, 3, p. 1084 F ὁ μὲν οὖν Ξ. διηγουμένου τινὸς ἐγχέλεις ἑωρακέναι ἐν ὕδατι θερμῷι ζώσας· 'οὐκοῦν' εἶπεν 'ἐν ψυχρῷι αὐτὰς ἑψήσομεν'.

18. DIOG. LAËRT., IX 22 καὶ αὐτὸς (*Parmenides*) δὲ διὰ ποιημάτων φιλοσοφεῖ καθάπερ Ἡσίοδός τε καὶ Ξ. καὶ Ἐμπεδοκλῆς. Cf. THALES, fr. B1 Diels şi *supra*, fr. A 5.

19. — IX 18 (reprodus mai sus, p. 14). II 46 ἀποθανόντι δὲ [scil. Ὁμήρωι ἐφιλονίκει] Ξ. ὁ Κολοφώνιος καὶ Κέρκωψ Ἡσιόδωι ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξ.

20. STRABO, XIV, p. 643 Ξ. ὁ φυσικὸς ὁ τοὺς Σίλλους ποιήσας διὰ ποιημάτων.

21. APUL., Florida, c. 20 *canitenim Empedocles carmina, Plato dialogos, Socrates hymnos, Epicharmus comoedias, Xenophon historias, Xenocrates* [*Xenophanes* Casaubonus?] *satiras*.

22. PROCL. la HESIOD., Opp., 284 (după Plutarch) Ξ. διὰ δή τινα πρὸς τοὺς κατ' αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν Σίλλους ἀτόπους ἐκθεῖναι λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν.

23. SCHOL. ABT sub B 212 ἤδη δὲ οὐ Ξενοφάνει, ἀλλ' Ὁμήρωι πρώτωι Σίλλοι πεποίηνται, ἐν οἷς αὐτός τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς ἀρίστους.

joace cu el zaruri – recunoștea că e fricos foarte și necutezător, când e vorba de lucruri urâte.

17. — *De commun. notit.*, 46, 3, p. 1084 F **Cuiva, care-i povestea că văzuse țipari trăind în apă caldă, Xenofanes i-a răspuns: «de-i așa, îi vom fierbe în apă rece».**

POEZIA

18. DIOG. LAËRT., IX 2 2 **Acesta** [*Parmenides*] **filosofează și el în versuri[26], ca Hesiod, Xenofanes și Empedocles.** Cf. THALES, fr. B 1 Diels și, *supra*, fr. A 5.

19. — IX 18 (reprodus mai sus, p. 15). II 46 **Cu Homer – mort – a polemizat Xenofanes din Colofon, iar Kerkops cu Hesiod încă în viață: mort, a polemizat cu el și abia pomenitul Xenofanes[27].**

20. STRABO, XIV, p. 643 **Xenofanes, filosoful naturalist, cel ce a compus *silli*[28] în versuri...**

21. APUL., *Florida*, c. 20 **Empedocles compune poeme, Platon dialoguri, Socrate imnuri, Epicharmos comedii, Xenofon opere istorice, Xenofanes [?] satire.**

22. PROCL. la HESIOD., *Opp.*, 284 (*după Plutarch*) **Se spune că, dintr-un soi de micime de suflet față de filosofii și poeții vremii lui, Xenofanes ar fi dat la iveală *silli* nelalocul lor împotriva tuturor filosofilor și poeților.**

23. SCHOL. ABT sub B 212 **Primii *silli* au fost scriși nu de Xenofanes, ci de Homer, acolo unde-și bate joc de Thersites, iar Thersites de capii oștirii[29].**

24. ARIUS DID. la STOB., Ecl., II 1, 18 (p. 6, 14 W.) Ξενοφάνους πρώτου λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας ἄξιος γραφῆς ἅμα παιδιᾶι τάς τε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος καὶ τὴν αὐτοῦ παριστάντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν, 'δόκος ... τέτυκται' (fr. B 34, 4). Cf. fr. A 35.

25. CIC., Acad. prior., II 23, 74 *Parmenides, X., minus bonis quamquam versibus* [*decât ale lui Empedocles*], *sed tamen illi versibus increpant eorum adrogantiam quasi irati, qui cum sciri nihil possit, audeant se scire dicere.*

26. PHILO de provid. II 39 *non ita tamen X. aut Parmenides aut Empedocles sive alii quicumque theologi a poesi capti sunt divini viri [sc. deos mendaces finxerunt], sed potius theoriam naturae gaudio amplexi et vitam omnem ad pietatem laudemque deorum dedicantes optimi quidem viri comperti sunt, poetae tamen non felices: quos oportebat divinitus spiritum sortiri gratiamque de caelo metrum carmen rhythmumque caelestem ac divinum, ut poemata vera relinquerent velut prototypum libri perfectum et pulcrum cunctis exemplar.* – Ibid., 42 *at quare Empedocles, Parmenides, X. aemulatorque istorum chorus non sortiti sunt spiritum Musarum, cum theologiam exercuerunt?*

27. ATHEN. XIV 632 C D ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι, δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ [τοὺς] πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξ. δὲ καὶ Σόλων καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελωιδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῆι τάξει τῶν μέτρων καὶ σκοποῦσιν ὅπως αὐτῶν μηδεὶς <μήτε> ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.

24. ARIUS DID. la STOB., *Ecl.*, II 1, 18 (p. 6, 14 W) **Prima vorbă vrednică de pomenire ajunsă la urechile grecilor a fost a lui Xenofanes, care, recurgând la derâdere, a lovit îngâmfările altora și, în același timp, și-a arătat propria modestie, proclamând că doar zeul cunoaște adevărul: «tuturor le e dată părerea»** (fr. B 34, 4). Cf. fr. A 35.

25. CIC., *Acad. prior.*, II 23, 74 **Parmenides, Xenofanes, măcar că în versuri mai puțin bune [*decât ale lui Empedocles*], dar, oricum, în versuri, mustră – s-ar zice, cu mânie – trufia celor ce, deși nu se poate ști nimic, îndrăznesc să pretindă că știu.**[30]

26. PHILO, *De provid.*, II 39 **Nu astfel [*și-au închipuit pe zei*] Xenofanes, sau Empedocles, sau oricare alți teologi pătrunși de harul divinității**[31], **ci, mai curând, îmbrățișând cu voioșie cercetarea naturii și închinându-și viața întreagă cinstirii și slăvirii zeilor, s-au dovedit oameni cât se poate de buni, dar poeți nu tocmai inspirați: și doar s-ar fi cuvenit să aibă parte de har venit de la zei și – din sferele de sus – de măsuri, melodii și ritmuri cerești și divine, ca să lase în urmă-le cântări adevărate, pildă desăvârșită pentru orice carte și chezășie de frumusețe pentru toți... – *Ibid.*, 42. Pentru ce oare Empedocles, Parmenides, Xenofanes și ceata imitatorilor lor n-au avut parte de duhul Muzelor, când s-au ocupat de teologie?**

27. ATHEN., XIV 632 C D **Că autorii vechi erau cât se poate de înzestrați cu simț muzical, se vede limpede din Homer, care, pentru că și-a compus întreaga operă preocupat de muzicalitate, face fără să se sinchisească o mulțime de versuri fie fără cap**[32], **fie scurtate, fie fără coadă**[33]**. În schimb, Xenofanes, și Solon, și Theognis, și Fokylides și, pe lângă ei, elegiacul Periandros din Corint și câți vor mai fi fiind, care nu-s în stare să dea muzicalitate compunerilor lor, își muncesc stihurile și în privința ritmului și în privința rânduielii măsurilor, grijulii să nu fie nici unul fără cap sau scurtat sau fără coadă.**

28. [ARISTOT.] *de Melisso Xenophane Gorgia cc. 3. 4.*

ed. Bekker p. 977a

c. 3 (1) Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον· δυνατὸν δὲ οὐδέτερον· οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταὐτὰ γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίως ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι. (2) εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος <ἢ τὸ ὂν ἐξ οὐκ ὄντος> ἂν γενέσθαι· ὅπερ ἀδύνατον. ἀίδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν. (3) εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι. εἰ γὰρ δύο ἢ πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ὢν θεὸς τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι. ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. (4) πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ τὸ θεῖον μὴ κρατεῖσθαι. (5) ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεοῦ φύσιν, ὃν δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε βέλτιον οὔτε χεῖρον εἶναι τοῦ ἴσου. ὥστ' εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο [οὐ γὰρ ἂν δύνασθαι] πλειόνων ὄντων· ἕνα ἄρα εἶναι

ÎNVĂȚĂTURA

28. [ARISTOT.,] *DeMelisso Xenophane Gorgia*[34], cc. 3-4 Ed. Bekker (după ediția lui H. Diels în *Abhandlungen der Berl. Akademie*, 1900)

ed. Bekker p. 977a

c. 3 (1) Zice – referindu-se la divinitate – că, dacă ceva este, e cu neputință să se fi născut. Într-adevăr, ceva născut trebuie să se fi născut neapărat fie din ceva asemenea cu el, fie din ceva deosebit: amândouă ipoteze imposibile, întrucât, din două lucruri asemenea, nu se vede pentru ce unul arnaște pe celălalt în loc să fie el cel născut (membrele unei egalități având aceleași proprietăți și comportându-se identic în raporturile lor reciproce)[35], iar un lucru deosebit nu se poate nici el naște din altul deosebit. (2) Într-adevăr, dacă din ceva mai slab s-ar naște ceva mai tare, sau din ceva mai mic ceva mai mare, sau din ceva mai rău ceva mai bun (ori dimpotrivă, lucruri mai rele din lucruri mai bune), – ar însemnacă nașterea a avut loc de la neființă la ființă, ceea ce e imposibil. Pentru toate aceste motive, divinitatea e veșnică. (3) Dacă însă divinitatea e mai presus de tot ce există, atunci – zice el – trebuie să fie Unu. Căci dac-ar fi doi sau mai mulți, nici unul n-ar putea fi cel mai tare și cel mai bun, de vreme ce, fiecare fiind zeu, ar trebui să fie zeu în același chip. Doar asta vrea să zică a fi zeu și a avea putere de zeu: să stăpânești fără să fii stăpânit, să fii atoatestăpânitor. Încât, în măsura în care nu-i atotputinte, în aceeași măsură nu-izeu. (4) Dacă, prin urmare, zeii ar fi mai mulți și dacă, dintre ei, unii ar fi mai puternici și alții mai slabi, n-ar mai fi zei: căci e în firea dumnezeirii să nu se lase stăpânită. (5) Dar și egali de-ar fi, încă n-ar avea o natură divină, căci divinitatea trebuie să fie mai presus de orice, iar egalul nu-i nici mai bun, nici mai rău decât egalul său. Încât, dacă divinitatea există și are o fire zeiască, Zeul trebuie să fie Unu. Dealtminteri, dac-ar fi mai mulți, nici n-ar putea face tot

977a μόνον. (6) ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντη, ὁρῶντα καὶ ἀκούοντα τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντη· εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων
977b 1 τὰ μέρη θεοῦ [ὄντα], ὅπερ ἀδύνατον. (7) πάντη δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μὲν τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντη. (8) ἀίδιον δὲ ὄντα καὶ ἕνα καὶ <ὅμοιον καὶ> σφαιροειδῆ οὔτε ἄπειρον οὔτε πεπεράνθαι. ἄπειρον μὲν <γὰρ> τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτε ἀρχὴν καὶ τέλος οὔτ'
5 ἄλλο οὐδὲν μέρος ἔχειν, τοιοῦτον δὲ εἶναι τὸ ἄπειρον· οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν· περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. τὸ δὲ ἓν οὔτε τῶι οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὡμοιῶσθαι· ἓν γὰρ <ὂν> οὐκ ἔχειν, πρὸς ὅτι περανεῖ. (9) τὸ δὴ τοιοῦτον ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον
10 εἶναι· ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτ' ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι. (10) τὸ γὰρ μὴ ὂν οὐδαμῆ εἶναι, εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω ἂν τὸ ἓν εἶναι ἑνός.
15 διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. (11) τὸ δὲ ἓν οὔτε ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῶι μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι· κατὰ πάντα δὲ οὕτως ἔχοντα τὸν θεόν, ἀίδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε
20 πεπερασμένον οὔτε ἠρεμοῦντα οὔτε κινητὸν εἶναι.

c. 4 (1) Πρῶτον μὲν οὖν λαμβάνει τὸ γιγνόμενον καὶ οὗτος ἐξ ὄντος γίγνεσθαι, ὥσπερ ὁ Μέλισσος [fr. 20 A 5]. καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου <μήτ' ἐξ ἀνομοίου> τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ

ce-ar vrea: nu poate fi dar decât Unu. (6) Dacă, prin ur- 977a
mare, Zeul e Unu, e la fel în toate părțile lui, și vede și 45
aude și-și are celelalte simțuri în toate părțile lui; altmin-
teri părțile luis-ar găsi, unele, într-o stare de superioritate,
altele, într-o stare de inferioritate, ceea ce e cu neputință.

(7) Fiind la fel în toate părțile lui, însemnează că e sfe- 1 977b
ric, căci nu poate fi la fel numai ici și colo, ci pretutin-
deni. (8) Veșnic fiind și Unu, și la fel și sferic, nu-i nici
nemărginit, nici mărginit[36]. Într-adevăr, nemărginită e
neființa: ea n-are nici mijloc, nici început, nici sfârșit, nici 5
vreo altă parte, și tocmai așa e nemărginirea; dar ființa
nu se poate să fie ca neființa. Și iarăși, dacă ființele ar fi
mai multe, s-ar mărgini între ele. Dar unul nu-i la fel nici
cu neființa, nici cu o pluralitate de ființe: tocmai pentru că
Unu n-are cu ce se mărgini. (9) O astfel de ființă unică, 10
cum zice el că e divinitatea, nici nu se mișcă, nici nu-i
nemișcată. Nemișcată e neființa: unde nici altceva nu vine
spre ea, nici ea în altceva. De mișcat, iarăși, se mișcă fiin-
țele maimulte decât una, fiecare trebuind să se miște spre
cealaltă. Dar spre neființă nu se mișcă nimic: (10) căci 15
neființa nu-i nicăieri și, admițând că lucrurile s-ar prefa-
ce unul într-altul, ar trebui ca unul să fie mai mult decât
unu. Se mișcă așadar două, sau mai multe decât unu; ni-
micul stă neclintit și nemișcat. (11) Unul, în schimb, nici
nu stă pe loc nici nu se mișcă, căci firea lui nu-i asemenea 20
nici cu neființa, nici cu pluralitatea. Pentru toate aceste
motive, o asemenea divinitate veșnică și una, identică cu
sine și sferică, nu poate fi nici nemărginită nici mărginită,
nici nemișcată nici în mișcare.

c. **4** (1) Și el, dar, ca și Melissos [fr. 20 AS, mai departe, 25
p. 183], pornește de la ideea că ceea ce se naște, se naște
din ființă. Și totuși, ce se împotrivește ca născutul să nu
se nască nici din ceva la fel, <nici din ceva deosebit>[37], ci
din neființă? Așijderi, divinitatea nu-i cu nimic mai nenăs-

977b ὄντος; ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγένητος ἢ καὶ τἆλλα
πάντα, εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου
γέγονεν (ὅπερ ἀδύνατον). ὥστε ἢ οὐδέν ἐστι παρὰ
τὸν θεὸν ἢ καὶ τὰ ἄλλα ἀίδια πάντα. (2) ἔτι
κράτιστον τὸν θεὸν λαμβάνει, τοῦτο δυνατώτατον
καὶ βέλτιστον λέγων· οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν
νόμον, ἀλλὰ πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί.
οὐκ οὖν ἐκ τοῦ δοκοῦντος εἴληφε ταύτην κατὰ τοῦ
θεοῦ τὴν ὁμολογίαν. (3) τό τε κράτιστον εἶναι τὸν
θεὸν οὐχ οὕτως ὑπολαμβάνειν λέγεται, ὡς πρὸς ἄλλο
τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὐτοῦ
διάθεσιν, ἐπεὶ τοί γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι
μὴ τῆι αὐτοῦ ἐπιεικείαι καὶ ῥώμηι ὑπερέχειν, ἀλλὰ
διὰ τὴν τῶν ἄλλων ἀσθένειαν. θέλοι δ' ἂν οὐδεὶς
οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς
ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐλλείπει καὶ εὖ
καὶ καλῶς ἔχειν αὐτῶι· τἆλλα γὰρ ἴσως ἔχοντι
κἀκεῖνο ἂν συμβαίνοι. (4) οὕτω δὲ διακεῖσθαι καὶ
πλείους αὐτοὺς ὄντας οὐδὲν ἂν κωλύοι, ἅπαντας
978a 1 ὡς οἷόν τε ἄριστα διακειμένους, καὶ κρατίστους
τῶν ἄλλων, οὐχ αὑτῶν ὄντας. (5) ἔστι δ', ὡς ἔοικε,
καὶ ἄλλα. κράτιστον γὰρ εἶναι τὸν θεόν φησι, τοῦτο
δὲ τινῶν εἶναι ἀνάγκη· ἕνα τ' ὄντα πάντη ὁρᾶν καὶ
ἀκούειν οὐδὲν προσήκει· οὐδὲ γὰρ εἰ μὴ καὶ τῆδ'
5 ὁρᾶι, χεῖρον ὁρᾶι ταύτη, ἀλλ' οὐχ ὁρᾶι. ἀλλ' ἴσως
τοῦτο βούλεται τὸ πάντη αἰσθάνεσθαι, ὅτι οὕτως
ἂν βέλτιστα ἔχοι, ὅμοιος ὢν πάντη. (6) ἔτι τοιοῦτος
ὢν διὰ τί σφαιροειδὴς ἂν εἴη, ἀλλ' οὐχ [ὅτι] ἑτέραν

cută decât toate celelalte lucruri, de vreme ce toate se 30 977b
nasc fie din ceva asemănător, fie din ceva deosebit (presupunere absurdă): ceea ce face că, ori nu există nimic afară de divinitate, ori toate câte există sunt și ele veșnice. (2) Așijderi pune divinitatea mai presus de orice, înțelegând că e cea mai puternică și mai bună. Nu a- 35
ceasta pare să fie regula, ci că, în multe privințe, unii zei sunt mai puternici decât alții. Așadar, părerea aceasta despre divinitate n-a împrumutat-o credinței obștești.
(3) Se zice dealtminteri că, în ochii lui, supremația divinității nu trebuie înțeleasă ca și cum natura acesteia ar fi 40
astfel în raport cu altceva, ci în raport cu propriul său fel de a fi, devreme ce, în primul caz, nimic nu s-ar împotrivi ca superioritatea să nu decurgă din bunătatea sau din tăria ei, ci din slăbiciunea celorlalți. Nimeni, de bună seamă, nu s-ar încumeta să spună că divinitatea e mai presus de 45
toate în înțelesul acesta, ci că felul său de a fi e cel mai bun cu putință și că nimic nu-i lipsește pentru a se găsi într-o stare bună și frumoasă: având aceste din urmă atribute, va avea și pe acel al supremației. (4) Ce se opune atunci ca – și de-ar fi mai mulți – să se bucure de aceleași 50
condiții, găsindu-se în starea cea mai bună cu putință, mai 1 978a
presus de toate celelalte lucruri, dar nu și unul de altul? (5) Pentru că, după cât se pare, mai sunt și celelalte lucruri. Doar Xenofanes spune că divinitatea e mai presus de orice, fără doar și poate raportându-se la ceva. Mai 5
departe, presupunând că e Unu, nu urmează câtuși de puțin că trebuie să vadă și să audă în toate părțile lui; căci, dacă cu o anumită parte nu vede, nu însemnează că cu acea parte vede mai puțin, ci că nu vede. Dar poate că sensibilitatea răspândită în toată ființa divină vrea să spu- 10
nă că aceasta s-ar găsi astfel în condiția cea mai desăvârșită: la fel în toate părțile ei. (6) Admițând totuși că divinitatea ar fi așa, pentru ce – sub cuvânt că vede și

978a τινὰ μᾶλλον ἔχων ἰδέαν, ὅτι πάντη ἀκούει καὶ πάντη κρατεῖ; ὥσπερ γὰρ ὅταν λέγωμεν τὸ ψιμύθιον ὅτι πάντη ἐστὶ λευκόν, οὐδὲν ἄλλο σημαίνομεν ἢ ὅτι ἐν ἅπασιν αὐτοῦ τοῖς μέρεσιν ἐγκέχρωσται ἡ λευκότης· τί δὴ κωλύει οὕτως κἀκεῖ τὸ πάντη ὁρᾶν καὶ ἀκούειν καὶ κρατεῖν λέγεσθαι, ὅτι ἅπαν ὃ ἄν τις αὐτοῦ λαμβάνηι μέρος, τοῦτ' ἔσται πεπονθός; ὥσπερ δὲ οὐδὲ τὸ ψιμύθιον, οὐδὲ τὸν θεὸν ἀνάγκη εἶναι διὰ τοῦτο σφαιροειδῆ. (7) ἔτι μήτε ἄπειρον <εἶναι> μήτε πεπεράνθαι σῶμά γε ὄντα καὶ ἔχοντα μέγεθος πῶς οἷόν τε, εἴπερ τοῦτ' ἐστὶν ἄπειρον ὃ ἂν μὴ ἔχηι πέρας δεκτικὸν ὃν πέρατος, πέρας δ' ἐν μεγέθει καὶ πλήθει ἐγγίγνεται καὶ ἐν ἅπαντι τῶι ποσῶι, ὥστε εἰ μὴ ἔχει πέρας μέγεθος ὂν ἄπειρόν ἐστιν; (8) ἔτι δὲ σφαιροειδῆ ὄντα ἀνάγκη πέρας ἔχειν· ἔσχατα γὰρ ἔχει, εἴπερ μέσον ἔχει αὐτοῦ, οὗ πλεῖστον ἀπέχει. μέσον δὲ ἔχει σφαιροειδὴς ὤν· τοῦτο γάρ ἐστι σφαιροειδὲς ὃ ἐκ τοῦ μέσου ὁμοίως πρὸς τὰ ἔσχατα. (9) σῶμα δ' ἔσχατα ἢ πέρατα ἔχειν, οὐδὲν διαφέρει. *** εἰ γὰρ καὶ τὸ μὴ ὂν ἄπειρόν ἐστι, τί οὐκ ἂν καὶ τὸ ὂν ἄπειρον; τί γὰρ κωλύει ἕνια ταὔτ' ἂν λεχθῆναι κατὰ τοῦ ὄντος καὶ μὴ ὄντος; τό τε γὰρ ὂν οὐκ ὂν οὐδεὶς νῶν αἰσθάνεται, καὶ ὂν δέ τις οὐκ ἂν αἰσθάνοιτο ἃ νῶν· ἄμφω δὲ λεκτὰ καὶ διανοητά *** οὐ λευκόν τε τὸ μὴ ὄν· ἢ οὖν διὰ τοῦτο τὰ ὄντα πάντα λευκά, ὅπως μή τι ταὐτὸ κατὰ τοῦ ὄντος σημήνωμεν καὶ μὴ ὄντος, ἢ οὐδέν, οἶμαι, κωλύει καὶ τῶν ὄντων τι μὴ εἶναι λευκόν· οὕτω δὲ καὶ μᾶλλον ἂν ἀπόφασιν δέξαιτο [τὸ ἄπειρον], εἰ κατὰ τὸ πάλαι λεχθέν τι [μᾶλλον] παρὰ τὸ μὴ ἔχειν <πέρας> ἐστὶν ἄπειρον· ὥστε καὶ τὸ ὂν ἢ ἄπειρον ἢ πέρας ἔχον ἐστίν. (10) ἴσως δὲ ἄτοπον καὶ τὸ προσάπτειν τῶι μὴ ὄντι ἀπειρίαν· οὐ γὰρ πᾶν, εἰ μὴ

stăpânește în toate părțile ei – ar fi numaidecât sferică și 978a
n-ar avea mai curând altă înfățișare? Doar, când spunem
că ceruza e albă în toate părțile ei, nu vrem să spunem
altceva decât că albul se străvede în toate părțile ei; și
atunci ce se împotrivește ca și în cazul nostru, când spu-
nem că vede și aude și stăpânește în toate părțile lui, să
înțelegem că, orice parte am lua, va avea aceste calități?
Fără ca pentru aceasta să credem că ori ceruza, ori Zeul
trebuie să semene numaidecât cu o sferă. (7) Și iarăși,
cum e cu putință să nu fie nici nemărginit, nici mărginit,
câtă vreme e corp și are o mărime? Bineînțeles, dacă ne-
mărginit e ceea ce – comportând o margine – nu are totuși
margine, și dacă, la rândul ei, marginea se exprimă prin
mărime, număr sau orice formulă cantitativă. Dar atunci,
dacă – mărime fiind – n-are margini, înseamnă că e ne-
mărginit. (8) Tot așa, dacă e sferic, trebuie numaidecât
să fie mărginit: căci, dacă are un centru, are și extremități,
in punctul cel mai depărtat de centru. Centru însă trebuie
să aibă, de vreme ce e sferic; iar sferic e ceea ce are
extremitățile deopotrivă depărtate de centru. (9) Pentru
un corp, a avea extremități sau margini e tot una *** Căci,
dacă și neființa e nemărginită, de ce n-ar fi nemărginită și
ființa? Ce se opune, într-adevăr, ca anumite lucruri să se
poată spune atât despre ființă cât și despre neființă? ***
Amândouă pot fi concepute și exprimate;*** neființa nu e
albă. Așadar, sau toate lucrurile vor fi din această pricină
albe (pentru ca nu cumva să spunemacelași lucru despre
ființă și despre neființă), sau – cum socot – nimic nu se
împotrivește ca și unele ființe să nu fie albe. În felul aces-
ta[38], lesne putea-vor primi și cealaltă negație, dacă, așa
cum s-a spus de mult, nemărginirea e altceva decât fap-
tul de a nu avea margini: așa că, și ființa, e ori nemărgini-
tă, ori cu margini. (10) Se prea poate dealtminteri să fie
absurd să atribui neființei nemărginirea; doar nu orice

978a ἔχει πέρας, ἄπειρον λέγομεν, ὥσπερ οὐδ' ἄνισον οὐκ
ἂν φαῖμεν εἶναι τὸ μὴ ἴσον. (11) ἔ<τι> τί οὐκ ἂν
ἔχοι ὁ θεὸς πέρας εἷς ὤν, ἀλλ' οὐ πρὸς θεόν; εἰ δὲ ἓν
μόνον ἐστὶν ὁ θεός, <ἓν> ἂν εἴη μόνον καὶ τὰ τοῦ
978b 1 θεοῦ μέρη. (12) ἔτι καὶ τοῦτ' ἄτοπον, εἰ τοῖς πολλοῖς
ξυμβέβηκεν πεπεράνθαι πρὸς ἄλληλα, διὰ τοῦτο τὸ
ἓν μὴ ἔχειν πέρας. πολλὰ γὰρ τοῖς πολλοῖς καὶ τῶι
ἑνὶ ὑπάρχει ταὐτά, ἐπεὶ καὶ τὸ εἶναι κοινὸν αὐτοῖς
5 ἐστιν. ἄτοπον οὖν ἴσως ἂν εἴη, εἰ διὰ τοῦτο μὴ φαῖμεν
εἶναι τὸν θεόν, εἰ τὰ πολλὰ ἔστιν, ὅπως μὴ ὅμοιον
ἔσται αὑτοῖς ταύτη. (13) ἔτι τί κωλύει πεπεράνθαι
καὶ ἔχειν πέρατα ἓν ὄντα τὸν θεόν; ὡς καὶ ὁ
Παρμενίδης [fr. B 8, 43] λέγει ἓν ὂν εἶναι αὐτὸν
'πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκωι,
10 μεσσόθεν ἰσοπαλές'. τὸ γὰρ πέρας τινὸς μὲν ἀνάγκη
εἶναι, οὐ μέντοι πρός τί γε, οὐδὲ ἀνάγκη τὸ ἔχον
πέρας πρός τι ἔχειν πέρας, ὡς πεπερασμένον πρὸς
τὸ [μὴ] ἐφεξῆς ἄπειρον, ἀλλ' ἔστι τὸ πεπεράνθαι
ἔσχατα ἔχειν, ἔσχατα δ' ἔχον οὐκ ἀνάγκη πρός τι
14 ἔχειν. (14) ἐνίοις μὲν οὖν συμβαίνοι γ' ἂν καὶ
14a πεπεράνθαι <καὶ> πρός τι συνάπτειν, τοῖς δὲ πεπε-
15 ράνθαι μέν, μὴ μέντοι πρός τι πεπεράνθαι. (15) πάλιν
15a περὶ τοῦ ἀκίνητον εἶναι τὸ ὂν καὶ τὸ <μὴ> ὄν
15b <λεκτέον ὅτι τὸ ὑπολαμβάνειν ἀκίνητον εἶναι τὸ μὴ
16 ὄν>, ὅτι καὶ τὸ ὂν κινεῖται, ἴσως ὁμοίως τοῖς ἔμπροσ-
θεν ἄτοπον. καὶ ἔτι· ἆρά γε οὐ ταὐτὸ ἄν τις ὑπολάβοι
18 τὸ μὴ κινεῖσθαι καὶ τὸ ἀκίνητον εἶναι, ἀλλὰ τὸ μὲν
ἀπόφασιν τοῦ κινεῖσθαι, ὥσπερ τὸ μὴ ἴσον, ὅπερ
20 καὶ κατὰ τοῦ μὴ ὄντος εἰπεῖν ἀληθές, τὸ δὲ ἀκίνητον
τῶι ἔχειν πως ἤδη λέγεσθαι, ὥσπερ τὸ ἄνισον, καὶ
ἐπὶ τῶι ἐναντίωι τοῦ κινεῖσθαι, τῶι ἠρεμεῖν, ὡς καὶ

n-are margini e pentru noi nemărginit, după cum nu tot 978a
ce nu e egal e inegal. (11) Mai mult: pentru ce Zeul, sin-
gur fiind, n-ar avea și el margini, bineînțeles nu față de alt 1 978b
zeu? Iar, dacă divinitatea e numai Unu, părțile ei vor al-
cătui și ele numai o unitate. (12) Deopotrivă absurdă e și
presupunerea că ceeace e unic n-ar avea margini, pentru
că se întâmplă ca acolo unde sunt mai mulți să se mărgi- 5
nească unul cu altul. În realitate, multe atribute sunt co-
mune unității și pluralității, devreme ce au comun și faptul
de a fi. Ar fi dar absurd să spunem că, întrucât există o
pluralitate de ființe, divinitatea nu există, numai pentru
ca în felul acesta să nu semene cu ele. (13) Ce se împo- 10
trivește dealtminteri ca divinitatea, deși una, să fie măr-
ginită și să aibă margini? Doar și Parmenides [fr. B 8, 43,
mai departe, p. 129] spune că – Unu fiind – e «asemenea
masei unei sfere bine rotunjite, în toate părțile ei deopo-
trivă cumpănită față de mijloc». În realitate, marginea tre- 15
buie să mărginească ceva, nu să se mărginească cu ceva;
nu-i doar nevoie ca un lucru mărginit să-și aibă marginea
spre ceva (cum am zice: mărginit către nemărginitul ve-
cin), faptul de a fi mărginit însemnând numai a avea extre-
mități, și nu numaidecât extremități către ceva. (14) Se 20
întâmplă astfel ca unele lucruri să fie mărginite și să se
învecineze cu ceva, altele să fie mărginite, dar să nu se
mărginească cu nimic. (15) Și iarăși, în legătură cu mișca-
rea ființei și a neființei, trebuie spus că a proclama
nemișcarea neființei pentru simplul motiv că se mișcă 25
ființa, e o presupunere absurdă pe măsura celor dinainte.
Mai mult: cineva ar putea observa că «a nu se mișca» și «a
fi nemișcat» nu-i același lucru, primul termen – ca «a nu fi
egal» – echivalând cu o negație a mișcării, ce se poate
aplica fără a greși și neființei, celălalt – «a fi nemișcat» – 30
exprimând o anumită stare (ca «a fi inegal»), potrivnică
mișcării, – rămânerea pe loc, – negațiile compuse cu *a*

978b σχεδὸν αἱ ἀπὸ τοῦ α ἀποφάσεις ἐπὶ ἐναντίοις λέγονται; τὰ μὲν οὖν μὴ κινεῖσθαι ἀληθὲς ἐπὶ τοῦ μὴ ὄντος, τὸ δὲ ἠρεμεῖν οὐχ ὑπάρχει τῶι μὴ ὄντι. 20 ὁμοίως δὲ οὐδὲ <τὸ> ἀκίνητον εἶναι σημαίνει ταὐτόν. ἀλλ᾽ οὗτος ἐπὶ τῶι ἠρεμεῖν αὐτῶι χρῆται, καὶ φησὶ τὸ μὴ ὂν ἠρεμεῖν, ὅτι οὐκ ἔχει μετάβασιν. (16) ὅπερ τε καὶ ἐν τοῖς ἄνω εἴπομεν, ἄτοπον ἴσως, εἴ τι τῶι μὴ ὄντι προσάπτομεν, τοῦτο μὴ ἀληθὲς εἶναι κατὰ τοῦ ὄντος εἰπεῖν, ἄλλως τε κἂν ἀπόφασις ἧι τὸ 30 λεχθέν, οἷον καὶ τὸ μὴ κινεῖσθαι μηδὲ μεταβαίνειν ἐστί. πολλὰ γὰρ ἄν, καθάπερ καὶ ἐλέχθη, ἀφαιροῖτο τῶν ὄντων κατηγορεῖν. οὐδὲ γὰρ ἂν πολλὰ ἀληθὲς εἰπεῖν εἴη μὴ ἕν, εἴπερ καὶ τὸ μὴ ὂν ἐστι μὴ ἕν. (17) ἔτι ἐπ᾽ ἐνίων τἀναντία ξυμβαίνειν δοκεῖ κατὰ τὰς 35 αὐτὰς ἀποφάσεις· οἷον ἀνάγκη ἢ ἴσον ἢ ἄνισον, ἄν τι πλῆθος ἢ μέγεθος ἧι, καὶ ἄρτιον ἢ περιττόν, ἂν ἀριθμὸς ἧι· ὁμοίως δ᾽ ἴσως καὶ τὸ <ὂν ἢ> ἠρεμεῖν ἢ κινεῖσθαι ἀνάγκη, ἂν σῶμα ἧι· (18) ἔτι εἰ καὶ διὰ τοῦτο μὴ κινεῖται ὁ θεός τε καὶ τὸ ἕν, ὅτι τὰ πολλὰ 979a 1 κινεῖται τῶι εἰς ἄλληλα ἰέναι, τί κωλύει καὶ τὸν θεὸν κινεῖσθαι εἰς ἄλλο; οὐδα<μοῦ γὰρ λέγει> ὅτι <ἕν ἐστι> μόνον, ἀλλ᾽ ὅτι εἷς μόνος θεός. (19) εἰ δὲ καὶ οὕτως, τί κωλύει εἰς ἄλληλα κινουμένων τῶν μερῶν τοῦ <θεοῦ> κύκλωι φέ<ρεσθαι τὸν> θεόν; οὐ 5 γὰρ δὴ τὸ τοιοῦτον ἕν, ὥσπερ ὁ Ζήνων, πολλὰ εἶναι φήσει. αὐτὸς γὰρ σῶμα λέγει εἶναι τὸν θεόν, εἴτε τόδε τὸ πᾶν εἴτε ὅ τι δήποτε αὐτὸ λέγων· ἀσώματος γὰρ ὢν πῶς ἂν σφαιροειδὴς εἴη; (20) ἔτι μόνως γ᾽ ἂν οὕτως οὔτ᾽ ἂν κινοῖτο οὔτ᾽ ἂν ἠρεμοῖ μηδαμοῦ γε ὤν; ἐπεὶ δὲ σῶμά ἐστι, τί ἂν αὐτὸ κωλύοι κινεῖσθαι, ὡς ἐλέχθη;

privativ fiind îndeobște folosite pentru a exprima contrariul. Fără a greși, se poate dar spune despre neființă că nu se mișcă; «a sta pe loc» nu-i însă un atribut al neființei. Tot așa, nici «a fi nemișcat» nu-i tot una cu «a nu se mișca»: totuși Xenofanes le confundă, spunând că neființa stă pe loc, pentru că nu suferă schimbări. (16) Cum am spus-o mai sus, e fără îndoială absurd să pretinzi că – întrucât un predicat se aplică neființei – ar fi greșit să-l aplicăm ființei, mai ales când e vorba de o negație, cum e cazul cu «a nu se mișca» și «a nu-și schimba locul». Dac-ar fi așa, cum iarăși s-a spus, multe ar fi predicatele ființelor la care ar trebui să încetăm a mai recurge. Până și despre pluralitate nu s-ar mai putea spune, fără teamă de a greși, că nu-i unitate, de vreme ce neființa nu-i nici ea unitate. (17) Mai mult, potrivit acestor negații, s-ar părea că unor anumite lucruri li se pot aplica predicate contrarii: bunăoară, o cantitate sau o mărime trebuie să fie numaidecât egală sau neegală, un număr cu soț sau fără; tot așa și ființa, în măsura în care e corp, trebuie fie să stea pe loc, fie să se miște. (18) Și iarăși, dacă divinitatea și unitatea nu se mișcă, – din pricină că numai elementele unei pluralități se mișcă unul spre altul, – ce se împotrivește ca divinitatea să se miște și ea spre altceva? Doar Xenofanes nu spune nicăieri că unitatea singură există, ci că Zeul e unic.

978b

979a

(19) Chiar așa de-ar fi, ce s-ar împotrivi ca – mișcându-se părțile divinității una spre alta – ea să descrie o mișcare circulară? Căci Xenofanes nu spune, precum Zenon, că unitatea astfel concepută e o pluralitate: el singur arată că divinitatea e un corp, înțelegând prin aceasta fie Totul, fie orice altceva. Și-apoi, dac-ar fi incorporală, cum ar mai fi asemenea unei sfere? (20) Doar numai incorporală fiind, și negăsindu-se nicăieri, ar putea să nu fie nici în mișcare, nici în repaus. De vreme ce, însă, e corp, cum s-a spus, ce ar împiedica-o să se miște?

29. PLATON, Sophist., p. 242 C D [*vorbește străinul din Eleea*] μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν, ὁ μὲν ὡς τρία τὰ ὄντα, πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πηι, τοτὲ δὲ καὶ φίλα γιγνόμενα γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων παρέχεται· δύο δὲ ἔτερος εἰπών, ὑγρὸν καὶ ξηρὸν ἢ θερμὸν καὶ ψυχρόν, συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι. τὸ δὲ παρ' ἡμῶν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον [cf. Phileb. p. 16 C D], ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων, οὕτω διεξέρχεται τοῖς μύθοις. PHILOP. Phys. 125, 27 Vitell. ὁ Πορφύριός φησι τὸν Ξενοφάνη τὸ ξηρὸν καὶ τὸ ὑγρὸν δοξάσαι ἀρχάς, τὴν γῆν λέγω καὶ τὸ ὕδωρ, καὶ χρῆσιν αὐτοῦ παρατίθεται τοῦτο δηλοῦσαν 'γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα φύοντ' ἠδὲ γίνονται' [fr. B 29]· ταύτης δὲ τῆς δόξης δοκεῖ καὶ Ὅμηρος εἶναι ἐν οἷς φησιν 'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε' [*Iliada*, VII 99].

30. ARISTOT. Metaph. A 5. 986b 18 Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξ. δὲ πρῶτος τούτων ἑνίσας (ὁ γὰρ Παρμενίδης τούτου λέγεται γενέσθαι μαθητής) οὐδὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν [cf. fr. B 23]· οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξ. καὶ Μέλισσος.

41. AËT., II 20, 8 (D. 349) Π. καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον.

42. — II 25, 3 (D. 356) Π. πυρίνην [sc. εἶναι τὴν σελήνην]. 26, 2 (D. 357) Π. ἴσην τῶι ἡλίωι [sc. εἶναι τὴν σελήνην]· καὶ γὰρ ἀπ' αὐτοῦ φωτίζεται. 28, 5 (D. 358) Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Πυθαγόρας, Παρμ. ... ὁμοίως. [Cf. B 21].

43. — II 20, 8a (D. 349) Π. τὸν ἥλιον καὶ τὴν σελήνην ἐκ τοῦ γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου μίγματος ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου ὅπερ ψυχρόν.

43a. — III 1, 4 (D. 365.) Π. τὸ τοῦ πυκνοῦ καὶ τοῦ ἀραιοῦ μῖγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα.

44. DIOG. LAËRT., VIII 48 (Pythagoras) ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην, ὡς δὲ Θεόφραστος [Phys. Op. 17] Παρμενίδην, ὡς δὲ Ζήνων Ἡσίοδον. [Cf. A 1, supra, p. 78] AËT., III 15, 7 (D. 380) Π., Δημόκριτος διὰ τὸ πανταχόθεν ἴσον ἀφεστῶσαν [τὴν γῆν] μένειν ἐπὶ τῆς ἰσορροπίας οὐκ ἔχουσαν αἰτίαν δι' ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν· διὰ τοῦτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ. ANATOL., p. 30 Heib. πρὸς τούτοις ἔλεγον (pythagorici) περὶ τὸ μέσον τῶν τεσσάρων στοιχείων κεῖσθαί τινα ἑναδικὸν διάπυρον κύβον, οὗ τὴν μεσότητα τῆς θέσεως καὶ Ὅμηρον εἰδέναι λέγοντα 'τόσσον ἔνερθ' Ἀΐδαο ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης' [Il., VIII 16]. ἐοίκασι δὲ κατά γε τοῦτο κατηκολουθηκέναι τοῖς Πυθαγορικοῖς οἵ τε περὶ Ἐμπεδοκλέα καὶ Παρμενίδην καὶ σχεδὸν οἱ πλεῖστοι τῶν πάλαι σοφῶν, φάμενοι τὴν μοναδικὴν φύσιν Ἑστίας τρόπον ἐν μέσωι ἱδρῦσθαι καὶ διὰ τὸ ἰσόρροπον φυλάσσειν τὴν αὐτὴν ἕδραν [cf. THEOL. ARITHM., p. 6 De Falco].

41. AËT., II 20, 8 (D. 349) **Parmenides și Metrodoros zic că Soarele ar fi de foc.**

42. — II 25, 3 (D. 356) **Parmenides zice că (*Luna ar fi*) de foc.** – 26, 2 (D. 357) **Parmenides zice că (*Luna*) e egală cu Soarele și luminată de el**[29]. – 28, 5 (D. 358) **Thales cel dintâi a spus că (*Luna*) e luminată de Soare. La fel Pythagoras și Parmenides** [cf. B 21].

43. — II 20, 8 a (D. 349) **Parmenides susține că Soarele și Luna s-ar fi desprins din Calea Laptelui: unul din amestecul mai rar, care e caldul, cealaltă dintr-un amestec mai des, recele.**

43a. — III 1, 4 (D. 365) **După Parmenides, amestecul desului cu rarul ar da o culoare asemenea laptelui.**

44. DIOG. LAËRT., VIII 48 **(Pythagoras) a fost și cel ce a dat mai întâi cerului numele de *cosmos* și a susținut că Pământul e rotund**[30]**; după Theofrast** [*Phys. op.* 17], **meritul acesta ar fi al lui Parmenides; după Zenon, al lui Hesiod** [cf. fr. A 1, *supra*, p. 79]. AËT., III 15, 7 (D. 380) **Parmenides și Democrit spun că Pământul – depărtat, cum e, din toate părțile în aceeași măsură – rămâne în echilibru, neavând motiv să se plece într-o parte mai mult decât în alta; aceasta e și pricina pentru care se clatină, dar nu se mișcă din loc**[31]. ANATOL., p. 30 Heib. **În plus, mai afirmau (pytagoricii) că în mijlocul celor patru elemente s-ar găsi, izolat, un cub de foc, a cărui așezare centrală pare a o fi cunoscut și Homer, când zice: «atât de departe sub Hades, cât e cerul de pământ»** [*Il.*, VIII 16]. **În privința aceasta, de părerea pytagoricilor par să fi fost și adepții lui Empedocles și ai lui Parmenides, și cei mai mulți din înțelepții vechi, când susțin că natura monadică ar fi așezată în mijloc, ca vatra într-o casă, și că-și păstrează locul mulțumită echilibrului** [cf. THEOL. ARITHM., p. 6 De Falco].

44a. STRABO, I 94 φησὶ δὴ ὁ Ποσειδώνιος τῆς εἰς πέντε ζώνας διαιρέσεως ἀρχηγὸν γενέσθαι Παρμενίδην, ἀλλ' ἐκεῖνον μὲν σχεδόν τι διπλασίαν ἀποφαίνειν τὸ πλάτος τὴν διακεκαυμένην [τῆς μεταξὺ τῶν τροπικῶν] ὑπερπίπτουσαν ἑκατέρων τῶν τροπικῶν εἰς τὸ ἐκτὸς καὶ πρὸς ταῖς εὐκράτοις. Cf. ACHILL., *Isag.*, 31 (67, 27 Maass). AËT. III 11, 4 (D. 377a 8) Π. πρῶτος ἀφώρισε τῆς γῆς τοὺς οἰκουμένους τόπους ὑπὸ ταῖς δυσὶ ζώναις ταῖς τροπικαῖς.

45. MACROB., Somn. Scip., I 14, 20 *Parmenides ex terra et igne* [sc. animam essel. AËT. IV 3, 4 (D. 388) Π. δὲ καὶ Ἵππασος πυρώδη. – IV 5, 5 (D. 391) Π. ἐν ὅλωι τῶι θώρακι τὸ ἡγεμονικόν. – IV 5, 12 (D. 392) Π. καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῶιον ἄλογον κυρίως.

46. THEOPHR., De sensu, 1 urm. (D. 499) περὶ δ' αἰσθήσεως αἱ μὲν πολλαὶ καὶ καθόλου δόξαι δύ' εἰσιν· οἱ μὲν γὰρ τῶι ὁμοίωι ποιοῦσιν, οἱ δὲ τῶι ἐναντίωι. Π. μὲν καὶ Ἐμπεδοκλῆς καὶ Πλάτων τῶι ὁμοίωι, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον τῶι ἐναντίωι. (3) Π. μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν ἀλλὰ μόνον, ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρηι τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην γίνεσθαι τὴν διάνοιαν, βελτίω δὲ καὶ καθαρωτέραν τὴν διὰ τὸ θερμόν· οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας· 'ὡς γὰρ ἑκάστοτε, φησίν, ἔχει .. νόημα' (B 16). τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν ὡς ταὐτὸ λέγει· διὸ καὶ τὴν μνήμην καὶ τὴν λήθην ἀπὸ τούτων γίνεσθαι διὰ τῆς κράσεως· ἂν δ' ἰσάζωσι τῆι μίξει, πότερον ἔσται φρονεῖν ἢ οὔ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῶι ἐναντίωι καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν, φανερὸν ἐν οἷς φησι τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς

44a. STRABO, I 94 Poseidonios afirmă că autorul împărțirii în cinci zone e Parmenides, dar că acesta atribuie zonei toride o lărgime aproximativ dublă, depășind amândouă tropicele în exterior și spre zonele temperate. Cf. ACHILL., *Isag.*, 31 (67, 27 Maass). AËT., III 11, 4 (D. 377 a 8) Parmenides cel dintâi a fixat zonele locuite ale pământului sub cele două cercuri ale tropicelor[32].

45. MACROB., *Somn. Scip.*, I 14, 20 Parmenides [*spune că sufletul e alcătuit*] din pământ și foc. AËT., IV 3, 4 (D. 338) Parmenides și Hippasos [*au susținut că sufletul e*] de foc. – IV 5, 5 (D. 391) Parmenides [*afirmă*] că facultatea conducătoare își are locul în întreg pieptul. – IV 5, 12 (D. 392) Parmenides și Empedocles și Democrit spun că inteligența și sufletul sunt tot una; după ei, nu există animal cu totul irațional.

46. THEOPHR., *De sensu*, 1 urm. (D. 499) În ce privește senzația, multele păreri generale [*exprimate asupră-i*] se reduc la două: unii cred că e produsă de ceva asemănător, alții de contrariu. Parmenides, Empedocles și Platon sunt pentru similar, adepții lui Anaxagoras și Heraclit pentru contrariu... (3) În general vorbind, Parmenides n-a precizat nimic, afară de faptul că – două fiind elementele – cunoașterea e determinată de elementul precumpănitor. Într-adevăr, [*pretinde el,*] după cum precumpănește caldul sau recele, gândirea e alta, mai bună și mai curată fiind cea prilejuită de cald. Și aceasta însă are nevoie de oarecare măsură: «căci», zice, «după cum de fiecare dată...» [B 16]. Despre simțire și despre gândire spune că ar fi același lucru[33]; de aceea și amintirea și uitarea ar fi pricinuite tot de cald și de rece, potrivit felului cum sunt amestecate; uită însă să precizeze dacă gândirea e posibilă atunci când – în amestec – participarea celor două elemente e egală, și ce soi de întocmire e aceasta. Că percepția i se pare posibilă chiar cu contrariul [*caldului*] singur, reiese limpe-

οὐκ αἰσθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτω μὲν οὖν αὐτὸς ἔοικεν ἀποτέμνεσθαι τῆι φάσει τὰ συμβαίνοντα δυσχερῆ διὰ τὴν ὑπόληψιν.

46a. ΑΕΤ. V 30, 4 (D. 443, 12) Π. γῆρας γίνεσθαι παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν.

46b. TERTULL. de anima 45 *somnum ... Empedocles* (fr. A 85) *et P. refrigerationem.*

47. ΑΕΤ. IV 9, 6 (D. 397b 1) Π., Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστου ἑκάστηι ἐναρμόττοντος.

48. — (?) IV 13, 9, 10 (D. 404) Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν οἱονεὶ χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. ἔνιοι καὶ Πυθαγόραν τῆι δόξι ταύτηι συνεπιγράφουσιν ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων καὶ πρὸς τούτωι Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων.

49. PHILODEM., Rhet. fr. inc., 3, 7 [II 169 Sudh.] οὐδὲ κατὰ Π. καὶ Μέλισσον ἓν τὸ πᾶν λέγοντας εἶναι καὶ διὰ τὸ τὰς αἰσθήσεις ψευδεῖς εἶναι. ΑΕΤ., IV 9, 1 (D. 396, 12) Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξενοφάνης, Π. ψευδεῖς εἶναι τὰς αἰσθήσεις.

50. ΑΕΤ., IV 9, 14 (D. 398) Π., Ἐμπεδοκλῆς ἐλλείψει τροφῆς τὴν ὄρεξιν [sc. γίνεσθαι].

de din versurile unde susține că, din lipsa focului, mortul nu simte lumina, nici căldura, nici sunetele, dar că simte frigul, tăcerea și celelalte contrarii. Orice ființă îndeobște e înzestrată astfel de el cu o facultate conoscitivă. Pe calea aceasta a afirmației pare dar a înlătura Parmenides dificultățile ivite de pe urma concepției lui.

46a. AËT., V 30, 4 (D. 443, 12), Parmenides [*zicecă*] bătrânețea e pricinuită de scăderea elementului cald.

46b. TERTUL., *De anima*, 45 Pentru Empedocles [fr. A 85] și Parmenides somnul e răcire.

47. AËT., IV 9, 6 (D. 397 b 1) Parmenides, Empedocles, Anaxagoras, Democrit, Epicur și Herakleides susțin că senzațiile sunt produse de o proporționare a porilor[34], fiecare din obiectele simțite adaptându-se întocmai fiecărei senzații.

48. — (?), IV 13, 9, 10 (D. 404) Hipparchos afirmă că din fiecare ochi pornesc raze alecăror extremități –asemenea atingerii unor mâini – vin în contact cu corpurile externe și procură văzului percepția lor. Unii atribuie părerea și lui Pythagoras, ca unui chezaș al acestor învățături, și pe deasupra și lui Parmenides, care ar fi înfățișat-o în opera lui poetică.

49. PHILODEM., *Rhet. fr. inc.*, 3, 7 (II, 169 Sudh.)... nici cu Parmenides și Melissos, care spun că Totul e Unu și că de aceea senzațiile sunt înșelătoare. AËT., IV 9, 1 (D. 396, 12) Pythagoras, Empedocles, Xenofanes și Parmenides susțin că senzațiile sunt înșelătoare.

50. AËT., IV 9, 14 (D. 398)... după Parmenides și Empedocles, pofta ar fi pricinuită de lipsa de hrană.

51. CENSORIN., 4, 7. 8 *Empedocles ... talequiddam confirmat. primo membra singula ex terra quasi praegnate passim edita, deinde coisse et effecisse solidi hominis materiam igni simul et umori permixtam ... haec eadem opinio etiam in Parmenide Veliensi fuit pauculis exceptis ab Empedocle dissensis.* Cf. AËT., V 19, 5.

52. ARISTOT., De part. anim., B 2. 648a 25 ἔνιοι γὰρ τὰ ἔνυδρα τῶν πεζῶν θερμότερά φασιν εἶναι, λέγοντες ὡς ἐπανισοῖ τὴν ψυχρότητα τοῦ τόπου ἡ τῆς φύσεως αὐτῶν θερμότης, καὶ τὰ ἄναιμα τῶν ἐναίμων καὶ τὰ θήλεα τῶν ἀρρένων, οἷον Π. τὰς γυναῖκας τῶν ἀνδρῶν θερμοτέρας εἶναί φησι καὶ ἕτεροί τινες, ὡς διὰ τὴν θερμότητα καὶ πολυαιμούσαις γινομένων τῶν γυναικείων, Ἐμπεδοκλῆς δὲ τοὐναντίον.

53. AËT., V 7, 2 (D. 41) Π. ἀντιστρόφως· τὰ μὲν πρὸς ταῖς ἄρκτοις ἄρρενα βλαστῆσαι (τοῦ γὰρ πυκνοῦ μετέχειν πλείονος), τὰ δὲ πρὸς ταῖς μεσημβρίαις θήλεα παρὰ τὴν ἀραιότητα. 7, 4 (D. 420) Ἀναξαγόρας, Π. τὰ μὲν ἐκ τῶν δεξιῶν [sc. σπέρματα] καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας, τὰ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά. εἰ δ' ἐναλλαγείη τὰ τῆς καταβολῆς, γίνεσθαι θήλεα. Cf. ARISTOT., De gen. anim., IV 1. 763 b 30. CENSORIN., 5, 2 *igitur semen unde exeat inter sapientiae professores non constat. P. enim tum ex dextris tum e laevis partibus oriri putavit.*

54. AËT., V 11, 2 (D. 422) Π. ὅταν μὲν ἀπὸ τοῦ δεξιοῦ μέρους τῆς μήτρας ὁ γόνος ἀποκριθῇι, τοῖς πατράσιν, ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ, ταῖς μητράσιν [sc. ὅμοια τὰ τέκνα γίνεσθαι]. CENSORIN., 6, 8 *ceterum Parmenidis sententia est, cum dexterae partes semina dederint, tunc filios esse patri consimiles, cum laevae, tunc matri.* 6, 5 *at inter se certare feminas et maris et penes utrum victoria sit, eius habitum referri auctor est Parmenides.* Cf.

51. CENSORIN., 4, 7. 8 Empedocles... susține și el cam tot așa ceva. Din pământul parcă greu, ar fi ieșit la iveală mai întâi membrele izolate, care s-ar fi reunit apoi alcătuind substanța omului întreg, amestec de foc și de apă... Această părere se întâlnește și la Parmenides cel din Velia, care, cu excepția câtorva amănunte, nu se depărtează[35] de Empedocles. Cf. AËT., V 19, 5.

52. ARISTOT., *De part. anim.*, B 2. 648 a 25 Unii susțin că viețuitoarele acvatice sunt mai calde decât cele de uscat, pretinzând că propria lor căldură trebuie să compenseze răceala elementului în care trăiesc, și tot astfel că animalele lipsite de sânge ar fi mai calde decât cele cu sânge, și femelele decât masculii. Parmenides, bunăoară, și alți câțiva afirmă că femeile sunt mai calde decât bărbații și că acestei călduri, cum și faptului că au mai mult sânge, s-ar datora menstruația; Empedocles, tocmai pe dos...

53. AËT., V 7, 2 (D. 419) Parmenides dimpotrivă: regiunile nordice produc masculi (ca unele înzestrate cu mai mult element dens), regiunile sudice femele, din pricina elementului rar. – 7, 4 (D. 420) Anaxagoras și Parmenides pretind că sămânța din dreapta e zvârlită în dreapta uterului și cea din stânga în stânga. Dacă se schimbă direcția ejaculării, se naște parte femeiască. Cf. ARISTOT., *De gen. anim.*, IV 1. 763 b 30. CENSORIN., 5, 2 Dascălii de înțelepciune nu sunt lămuriți de unde vine sămânța. Parmenides o dată e de părere că se formează în partea dreaptă, o dată în stânga.

54. AËT., V 11, 2 (D. 422) Parmenides e de părere că atunci când ovulul se desprinde din partea dreaptă a uterului [*copiii seamănă cu*] tații, atunci când se desprinde din stânga, cu mamele. CENSORIN., 6, 8 Dealtminteri e de părerea lui Parmenides că atunci când sămânța vine din dreapta, copiii sunt asemenea tatălui, când vine din stânga, asemenea mamei. – 6, 5 Parmenides afirmă că între bărbat și femeie e o luptă și că [*pruncul*] re-

LACTANT., de opif., 12, 12 *dispares quoque naturae hoc modo fieri putantur: cum forte in laevam uteri partem masculinae stirpis semen inciderit, marem quidem gigni opinatio est, sed quia sit in feminina parte conceptus, aliquid in se habere femineum supra quam decus virile patiatur, vel formam insignem vel nimium candorem vel corporis levitatem vel artus delicatos vel staturam brevem vel vocem gracilem vel animum imbecillum vel ex hisplura. item si partem in dexteram semen feminini generis influxerit, feminam quidem procreari, sed quoniam in masculina parte concepta sit, habere in se aliquid virilitatis ultra quam sexus ratio permittat, aut valida membra aut immoderatam longitudinem aut fuscum colorem aut hispidam faciem aut vultum indecorum aut vocem robustam aut animum audacem aut ex his plura* [cf. B 18].

produce trăsăturile celui de partea cui e biruința. Cf. LACTANT., *De opif.*, 12, 12 Se crede că firile amestecate se nasc în acest chip. Când se întâmplăca sămânța bărbătească să cadă în partea stângă a uterului, părerea e că se naște un bărbat, dar că, din pricină că a fost zămislit în partea femeiască, păstrează în firea lui ceva de femeie, – mai mult decât se potrivește felului bărbatului: ori o frumusețe deosebită. ori prea multă albeață, ori ușurință a trupului, ori mădulare gingașe, ori statură joasă, ori glas subțire, ori suflet moleșit, ori mai multe trăsături de felul acesta. Tot astfel, dacă sămânța femeiască lunecă în partea dreaptă [*a uterului*], se naște o femeie, dar, întrucât se zămislește în partea hărăzită bărbaților, are în ea ceva mai bărbătesc decât se cade sexului, sau membre viguroase, sau înălțime prea mare, sau culoare închisă, sau față păroasă, sau chip urât, sau glas puternic, sau suflet cutezător, sau mai multe trăsături de acestea [Cf. B 18].

ΠΑΡΜΕΝΙΔΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ

1. 1–30 SEXT., VII 111şi urm. ὁ δὲ γνώριμος αὐτοῦ [al lui Xenofanes] Π. τοῦ μὲν δοξαστοῦ λόγου κατέγνω, φημὶ δὲ τοῦ ἀσθενεῖς ἔχοντος ὑπολήψεις, τὸν δ' ἐπιστημονικόν, τουτέστι τὸν ἀδιάπτωτον, ὑπέθετο κριτήριον, ἀποστὰς καὶ τῆς τῶν αἰσθήσεων πίστεως· ἐναρχόμενος γοῦν τοῦ Περὶ φύσεως γράφει τὸν τρόπον τοῦτον· "ἵπποι .. ἀληθής" (inclusiv ἀλλὰ σὺ .. λείπεται acum B 7, 2–7). Urmează parafraza lui Sextus, §112-114: ἐν τούτοις γὰρ ὁ Παρμενίδης ἵππους μέν φησιν αὐτὸν φέρειν τὰς ἀλόγους τῆς ψυχῆς ὁρμάς τε καὶ ὀρέξεις (1), κατὰ δὲ τὴν πολύφημον ὁδὸν τοῦ δαίμονος πορεύεσθαι τὴν κατὰ τὸν φιλόσοφον λόγον θεωρίαν, ὃς λόγος προπομποῦ δαίμονος τρόπον ἐπὶ τὴν ἁπάντων ὁδηγεῖ γνῶσιν (2.3), κούρας δ' αὐτοῦ προάγειν τὰς αἰσθήσεις (5), ὧν τὰς μὲν ἀκοὰς αἰνίττεται ἐν τῶι λέγειν 'δοιοῖς ... κύκλοις' (7. 8), τουτέστι τοῖς τῶν ὤτων, τὴν φωνὴν δι' ὧν καταδέχονται, τὰς δὲ ὁράσεις Ἡλιάδας κούρας κέκληκε (9), δώματα μὲν Νυκτὸς ἀπολιπούσας (9) 'ἐς φάος <δὲ> ὠσαμένας' (10) διὰ τὸ μὴ χωρὶς φωτὸς γίνεσθαι τὴν χρῆσιν αὐτῶν. ἐπὶ δὲ τὴν 'πολύποινον' ἐλθεῖν Δίκην καὶ ἔχουσαν 'κληῖδας ἀμοιβούς' (14), τὴν διάνοιαν ἀσφαλεῖς ἔχουσαν τὰς τῶν πραγμάτων καταλήψεις. ἥτις αὐτὸν ὑποδεξαμένη (22) ἐπαγγέλλεται δύο ταῦτα διδάξειν 'ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεμὲς ἦτορ' (29), ὅπερ ἐστὶ τὸ τῆς ἐπιστήμης ἀμετακίνητον βῆμα, ἕτερον δὲ 'βροτῶν δόξας ... ἀληθής' (30), τουτέστι τὸ ἐν δόξηι κείμενον πᾶν, ὅτι ἦν ἀβέβαιον. 28–32 SIMPL., De. cael., S57, 20

B) FRAGMENTE

DESPRE NATURĂ[1]

1. – 1-30 SEXT., VII, 111 și urm. Discipolul acestuia [*alluiXenofanes*] Parmenides disprețuia raționamentul de opinie, vreau să spun întemeiat pe reprezentări lipsite de temei, și lua drept criteriu raționamentul științific, cu alte cuvinte fără greș, tăgăduind în același timp orice crezare senzațiilor. La începutul poemului *Despre natură* se exprimă în felul următor: «iepele ce mă poartă...» [v. 1-30 și fr. B 8, 1-6]. *Urmează parafraza lui Sextus,* §112-114; «în aceste versuri, Parmenides zice[2] că e dus de *iepe*, adică de pornirile iraționale ale sufletului și de pofte (1); că înaintează pe *calea mult lăudată a zeiței*, revine a spune speculația întemeiată pe raționamentul filosofic, care raționament, în chip de divinitate însoțitoare, călăuzește spre știința universală (2.3); că îl conduc *copile*, adică senzațiile (5), dintre care pomenește auzul, atunci când vorbește de «două... cercuri» (7.8), altfel spus cercurile urechilor, prin care acestea primesc sunetele; numește ochii *copile ale Soarelui* (9), care părăsesc *lăcașurile Nopții* (9) și *năzuiesc spre lumină* (10), pentru că folosirea lor nu e cu putință fără lumină. Zice că se îndreaptă spre *Dreptatea amarnic pedepsitoare*, în ale cărei mâini stau *chei ce închid și deschid* (14), cu alte cuvinte rațiunea înzestrată cu înțelegerea sigură a lucrurilor. *Primindu-l* (22), aceasta îi spune că-l învață două lucruri: unul, *sufletulneînfricat al adevărului lesne de crezut*[3] (29), adică altarul nezdruncinat al științei, altul, *părerile muritorilor*... (30), adică tot ce se bizuie pe părere, care e nesigură. – 28-32

οἱ δὲ ἄνδρες ἐκεῖνοι διττὴν ὑπόστασιν ὑπετίθεντο, τὴν μὲν τοῦ ὄντως ὄντος τοῦ νοητοῦ, τὴν δὲ τοῦ γινομένου τοῦ αἰσθητοῦ, ὅπερ οὐκ ἠξίουν καλεῖν ὂν ἁπλῶς, ἀλλὰ δοκοῦν ὄν. διὸ περὶ τὸ ὂν ἀλήθειαν εἶναί φησι, περὶ δὲ τὸ γινόμενον δόξαν. λέγει γοῦν ὁ Π. ‘χρεὼ ... περῶντα’ (28 şi urm.).

ἵπποι ταί με φέρουσιν, ὅσον τ᾽ ἐπὶ θυμὸς ἱκάνοι,
πέμπον, ἐπεί μ᾽ ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι
δαίμονες, ἣ κατὰ πάντ᾽ ἄστη φέρει εἰδότα φῶτα·
·ᾗ φερόμην· τῇ γάρ με πολύφραστοι φέρον ἵπποι
ἅρμα τιταίνουσαι, κοῦραι δ᾽ ὁδὸν ἡγεμόνευον.
ἄξων δ᾽ ἐν χνοίῃσιν ἵει σύριγγος ἀυτήν
αἰθόμενος (δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσιν
κύκλοις ἀμφοτέρωθεν), ὅτε σπερχοίατο πέμπειν
Ἡλιάδες κοῦραι, προλιποῦσαι δώματα Νυκτός,
εἰς φάος, ὠσάμεναι κράτων ἄπο χερσὶ καλύπτρας.
ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων,
καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός·
αὐταὶ δ᾽ αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις·
τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς.
τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν
πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀχῆα
ἀπτερέως ὤσειε πυλέων ἄπο· ταὶ δὲ θυρέτρων
χάσμ᾽ ἀχανὲς ποίησαν ἀναπτάμεναι πολυχάλκους
ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν εἰλίξασαι
γόμφοις καὶ περόνῃσιν ἀρηρότε· τῇ ῥα δι᾽ αὐτέων
ἰθὺς ἔχον κοῦραι κατ᾽ ἀμαξιτὸν ἅρμα καὶ ἵππους.
καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ
δεξιτερὴν ἕλεν, ὧδε δ᾽ ἔπος φάτο καί με προσηύδα
ὦ κοῦρ᾽ ἀθανάτοισι συνάορος ἡνιόχοισιν,
ἵπποις ταί σε φέρουσιν ἱκάνων ἡμέτερον δῶ,
χαῖρ᾽, ἐπεὶ οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι
τήνδ᾽ ὁδόν (ἦ γὰρ ἀπ᾽ ἀνθρώπων ἐκτὸς πάτου ἐστίν),
ἀλλὰ θέμις τε δίκη τε. χρεὼ δέ σε πάντα πυθέσθαι
ἠμὲν Ἀληθείης εὐκυκλέος ἀτρεμὲς ἦτορ

SIMPL., *De caelo*, 557, 20 Oamenii aceia admiteau o îndoită ipostază: una e ceea ce există cu adevărat, a inteligibilului, alta a ceea ce devine, a sensibilului, pe care nu se învoiau s-o numească de-a dreptul «ființă», ci «ființă aparentă». Deaceea și spuncă de adevăr nu se poate vorbi decât în legătură cu ceea ce există, și că despre ceea ce devine nu putem avea decât păreri. Zice, într-adevăr, Parmenides: «Trebuie să înveți a cunoaște...» (v. 28 și urm.).

«Iepele ce mă poartă[4], până unde râvnește să-mi ajungă sufletul, mă duceau, în timp ce pe calea mult lăudată[5] mă călăuzeau zânele[6], ce îndrumă pe omul știutor[7] dincolo deorice așezare omenească[8]. Pe acolo am fost dus, acolo mă târau cumințile iepe (5) înhămate la car, iar copilele-mi călăuzeau drumul. Strânsă-n buccele, osia scotea un sunet de fluier (de-o parte și de alta încinsă de apăsarea celor două roți) ori de câte ori, părăsind lăcașurile Nopții[9], copilele Soarelui porneau să mă grăbească (10) spre lumină, în timp ce cu mâinile își ridicau vălurile de pe creștet.

Acolo[10] sunt porțile ce despart cărările Nopții și ale Zilei[11], din două părți prinse între praguri de piatră: cât sunt de înalte, uși mari le umplu golul, uși ale căror chei ce închid și deschid[12] sunt în mâna Dreptății amarnic-pedepsitoare[13]. (15) Pe aceasta, vorbindu-i cu cuvinte blajine, copilele au hotărât-o lesne să tragă în grabă zăvorul porților; date în lături, porțile și-au căscat larg golul, făcând să se rotească în găurile lor balamalele de bronz, (20) prinse cu nituri și cuie. Prin poartă, de-a lungul drumului, copilele au mânat înainte carul și caii.

Pe mine, zeița[14] m-a primit cu drag, mi-a luat în mână-i mâna dreaptă și astfel a grăit, vorbindu-mi: «tinere, care, întovărășit de călăuze nemuritoare (25), ajungi la casa noastră cu iepele ce te poartă, bun venit! Căci n-a fost un ceas rău care te-a îndemnat să pășești pe calea aceasta (departe de cărările obișnuite ale oamenilor), ci Legea și Dreptatea[15]. Cuvine-se acum să cunoști totul, și sufletul neînfricat al bine rotunjitului[16] Adevăr, (30) și părerile

ἠδὲ βροτῶν δόξας, ταῖς οὐκ ἔνι πίστις ἀληθής.
<ἀλλ᾽ ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα
χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα>.
ἀλλὰ σὺ τῆσδ᾽ ἀφ᾽ ὁδοῦ διζήσιος εἶργε νόημα
μηδέ ς᾽ ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουήν
καὶ γλῶσσαν, κρῖναι δὲ λόγωι πολύδηριν ἔλεγχον
ἐξ ἐμέθεν ῥηθέντα. μόνος δ᾽ ἔτι μῦθος ὁδοῖο
λείπεται ...

2. CLEM., Strom., 5, 15 (II 335, 25 St., în continuarea Emp. [31 B 17, 21]) ἀλλὰ καὶ Π. ἐν τῶι αὐτοῦ ποιήματι περὶ τῆς ἐλπίδος αἰνισσόμενος τὰ τοιαῦτα λέγει· ‘λεῦσσε .. συνιστάμενον’, ἐπεὶ καὶ ὁ ἐλπίζων καθάπερ ὁ πιστεύων τῶι νῶι ὁρᾶι τὰ νοητὰ καὶ τὰ μέλλοντα. εἰ τοίνυν φαμέν τι εἶναι δίκαιον, φαμὲν δὲ καὶ καλόν, ἀλλὰ καὶ ἀλήθειάν τι λέγομεν· οὐδὲν δὲ πώποτε τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἴδομεν, ἀλλ᾽ ἢ μόνωι τῶι νῶι.

λεῦσσε δ᾽ ὅμως ἀπεόντα νόωι παρεόντα βεβαίως·
οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι
οὔτε σκιδνάμενον πάντηι πάντως κατὰ κόσμον
οὔτε συνιστάμενον.

3. PROCL., In Parm., I p. 708, 16 (după fr. B 8, 25)

ξυνὸν δὲ μοί ἐστιν,
ὁππόθεν ἄρξωμαι· τόθι γὰρ πάλιν ἵξομαι αὖθις.

4. PROCL., In Tim., I 345, 18 Diehl (după fr. B 1, 30) καὶ πάλιν ‘εἰ δ᾽ ... ἀταρπόν’ καὶ ‘οὔτε ... φράσαις’. SIMPL., Phys., 116, 25 εἰ δέ τις ἐπιθυμεῖ καὶ αὐτοῦ τοῦ Παρμενίδου ταύτας λέγοντος ἀκοῦσαι τὰς προτάσεις, τὴν μὲν τὸ παρὰ τὸ ὂν οὐκ ὂν καὶ οὐδὲν λέγουσαν, ἥτις ἡ αὐτή ἐστι τῆι τὸ ὂν μοναχῶς λέγεσθαι, εὑρήσει ἐν ἐκείνοις τοῖς ἔπεσιν· ‘ἡ μὲν ... φράσαις’. (v. 3-8)

muritorilor[17], în care nu-i crezare adevărată. Dar și aceasta ai s-o înveți, cum că părerile trebuiau și ele să fie în chip verosimil, de vreme ce străbat totul în totchipul...»[18].

Nu lăsa nici de-a-lungul drumului pomenit deprinderea călită în multe încercări să te silească a recurge la ochiul ce nu vede, la urechea plină de vuiet ori la limbă[19], ci judecă cu mintea încâlcita pricină de care ți-am vorbit[20].

2. CLEM., *Strom.*, 5, 15, (II 335, 25 St. în continuarea Emp. [31 B 17, 21]) Dar și Parmenides în poemul său, referindu-se la speranță, zice: «Privește etc.» (v. 1-4), pentru că cine speră, ca și cine crede, vede cu gândul lucrurile inteligibile și viitoare. Într-adevăr, așa cum spunem că există un Drept, spunem că există și un Frumos, ba vorbim și de un Adevăr: totuși n-am văzut niciodată cu ochii vreunul din lucrurile acestea, ci numai cu mintea.

«Privește cu gândul[21] cum lucrurile depărtate sunt totuși cu adevărat apropiate; căci nu va despărți[22] ființa de legătura-i cu ființa, nici de-ar fi pe de-a-întregul împrăștiată, în tot chipul, cu rânduială, nici de-ar fi strânsă laolaltă.»[23]

3. PROCL., *In Parm.*, I, p. 708, 16 [*după B* 8, 29]

«...mi-e tot una[24], de unde voi începe; căci acolo mă voi întoarce iarăși».

4. PROCL., *In Tim.*, I 345, 18 Diehl (*după B 1, 30*)... și iarăși: «Haidem, am să-ți spun etc.» și «Căci neființa etc.». SIMPL., *Phys.*, 116, 25... de vrea cineva să asculte aceste propoziții formulate chiar de Parmenides, pe cea care proclamă că afară de ființă nu-i decât neființă și nimic, – ceea ce e tot una cu a spune că se poate vorbi numai de ființă, – o va găsi în versurile: «una e etc.» (v. 3-8).

εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
αἵπερ ὁδοὶ μοῦναι διζήσιός εἰσι νοῆσαι·
ἡ μὲν ὅπως ἔστιν τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι,
Πειθοῦς ἐστι κέλευθος (Ἀληθείηι γὰρ ὀπηδεῖ),
ἡ δ' ὡς οὐκ ἔστιν τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι,
τὴν δή τοι φράζω παναπευθέα ἔμμεν ἀταρπόν·
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐὸν (οὐ γὰρ ἀνυστόν)
οὔτε φράσαις.

5. CLEM., Strom., VI 23 (II 440, 12 St.) Ἀριστοφάνης ἔφη δύναται γὰρ ἴσον τῶι δρᾶν τὸ νοεῖν [fr. 691 K.] καὶ πρὸ τούτου ὁ Ἐλεάτης Π. 'τὸ γὰρ ... εἶναι'. PLOTIN., Enn., V 1, 8 ἥπτετο μὲν οὖν καὶ Π. πρότερον τῆς τοιαύτης δόξης, καθόσον εἰς ταὐτὸ συνῆγεν ὂν καὶ νοῦν καὶ τὸ ὂν οὐκ ἐν τοῖς αἰσθητοῖς ἐτίθετο. 'τὸ γὰρ ... εἶναι' λέγων καὶ ἀκίνητον λέγει τοῦτο, καίτοι προστιθεὶς τὸ νοεῖν σωματικὴν πᾶσαν κίνησιν ἐξαιρῶν ἀπ' αὐτοῦ.

... τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι.

6. SIMPL., Phys., 117, 2 (după fr. B 2) ὅτι δὲ ἡ ἀντίφασις οὐ συναληθεύει, δι' ἐκείνων λέγει τῶν ἐπῶν δι' ὧν μέμφεται τοῖς εἰς ταὐτὸ συνάγουσι τὰ ἀντικείμενα· εἰπὼν γὰρ 'ἔστι γὰρ εἶναι ... διζήσιος <εἴργω> ἐπάγει>· 'αὐτὰρ ... κέλευθος'. 78, 2 μεμψάμενος γὰρ τοῖς τὸ ὂν καὶ τὸ μὴ ὂν συμφέρουσιν ἐν τῶι νοητῶι 'οἷς ... ταὐτόν' (B 6, 8. 9), καὶ ἀποστρέψας τῆς ὁδοῦ τῆς τὸ μὴ ὂν ζητούσης 'ἀλλὰ ... νόημα' (B 7, 2), ἐπάγει 'μοῦνος κτλ.' (B 8, 1 şi urm.).

χρὴ τὸ λέγειν τε νοεῖν τ' ἐὸν ἔμμεναι· ἔστι γὰρ εἶναι,
μηδὲν δ' οὐκ ἔστιν· τά ς' ἐγὼ φράζεσθαι ἄνωγα.
πρώτης γάρ ς' ἀφ' ὁδοῦ ταύτης διζήσιος <εἴργω>,
αὐτὰρ ἔπειτ' ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν
πλάττονται, δίκρανοι· ἀμηχανίη γὰρ ἐν αὐτῶν
στήθεσιν ἰθύνει πλακτὸν νόον· οἱ δὲ φοροῦνται
κωφοὶ ὁμῶς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα,

«...Haidem, am să-ți spun (dar tu, ascultându-mi vorba, ia aminte) care sunt singurele căi de cercetare ce pot fi gândite: una, care afirmă că este și că nu-i chip să nu fie[25], e calea Convingerii (ce întovărășește Adevărul); (5) cealaltă, care afirmă că nu e și că trebuie să nu fie, aceasta, ți-o spun, e o cale ce nu poate fi câtuși de puțin cercetată[26]: căci nici de cunoscut n-ai putea cunoaște ce nu e (pentru că nu-i posibil), nici să-l exprimi...».

5. CLEM., *Strom.*, VI 23 (II 440, 12 St.) Aristofan a spus: «gândul poate face tot atâta cât fapta» [fr. 691 K] și, înaintea lui, eleatul Parmenides: «căci e tot una etc...» PLOTIN., *Enn.*, V 1, 8 Altădată de părerea aceasta a fost și Parmenides, ca unul ce punea laolaltă ființa și gândul, iar ființa n-o rânduia printre cele sensibile. Când zice: «căci e tot una...» înțelege că e și nemișcată, măcar că, adăugându-i gândul, îi tăgăduiește orice mișcare corporală. [*Se leagă cu B 2*]

«...căci e tot una a gândi și a fi»[27].]

6. SIMPL., *Phys.*, 117, 2 (după B 2)... că propozițiile contradictorii nu pot fi deopotrivă adevărate, o spune în acele versuri în care mustră pe cei ce identifică contrariile. Într-adevăr, după ce zice: «căci a fi este...» [v. 1-3], adaugă: «și apoi încăde la aceea...» [v. 4-9]. – 78, 2 După ce mustră pe cei ce, în categoria inteligibilului, pun laolaltă ființa și neființa: «pentru care a fi și a nu fi e tot una» [v. 8-9] și după ce-și abate *<cititorul>* de la calea care-și propune să cerceteze neființa: «dar tu abate-ți gândul» [fr. 7, 2], adaugă: «mai rămâne...» [fr. 8, 1 și urm.]:

«Trebuie spus și gândit că ființa este[28]; căci a fi este <posibil>, dar neantul nu e <posibil>[29]: tocmai ceea ce ți-am poruncit să iei aminte. De la această dintâi cale de cercetare te îndepărtez, și apoi încă de la aceea pe care orbecăiesc muritorii neștiutori, (5) oameni cu două capete: căci în pieptul lor nepriceperea călăuzește mintea rătăcită, iar ei sunt purtați ca niște surzi și orbi[30], prostiți,

οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται
κοὐ ταὐτόν, πάντων δὲ παλίντροπός ἐστι κέλευθος.

7. 1–2 PLATON, Soph., 237 A Π. δὲ ὁ μέγας, ὦ παῖ, παισὶν ἡμῖν οὖσιν ἀρχόμενός τε καὶ διὰ τέλους τοῦτο ἀπεμαρτύρατο, πεζῇ τε ὧδε ἑκάστοτε λέγων καὶ μετὰ μέτρων· οὐ γὰρ μήποτε τοῦτ' οὐδαμῇ, φησίν, εἶναι μὴ ὄντα· ἀλλὰ .. νόημα. ARISTOT., Metaph., N 2. 1089a 2 ἔδοξε γὰρ αὐτοῖς πάντ' ἔσεσθαι ἓν τὰ ὄντα, αὐτὸ τὸ ὄν, εἰ μή τις λύσει καὶ ὁμόσε βαδιεῖται τῶι Παρμενίδου λόγωι 'οὐ γὰρ ... ἐόντα', ἀλλ' ἀνάγκη εἶναι τὸ μὴ ὂν δεῖξαι ὅτι ἔστιν.

οὐ γὰρ μήποτε τοῦτο δαμῇ εἶναι μὴ ἐόντα·
ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα.

7, 2–7 SEXT., VII 114 [după B 1 I 227, 39. 228, 12] καὶ ἐπὶ τέλει προσδιασαφεῖ τὸ μὴ δεῖν αἰσθήσεσι προσέχειν ἀλλὰ τῶι λόγωι. μὴ γάρ σε, φησίν, 'ἔθος .. ῥηθέντα' (7, 3–7, 6). ἀλλ' οὗτος μὲν καὶ αὐτός, ὡς ἐκ τῶν εἰρημένων συμφανές, τὸν ἐπιστημονικὸν λόγον κανόνα τῆς ἐν τοῖς οὖσιν ἀληθείας ἀναγορεύσας ἀπέστη τῆς τῶν αἰσθήσεων ἐπιστάσεως.

8. 1–52 SIMPL., Phys., 144, 29 [după fr. A 21] ἔχει δὲ οὑτωσὶ τὰ μετὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν· (145) 'μοῦνος ... ἀκούων'. 8, 1–14 SIMPL., Phys., 78, 5 (după fr. B 7, 2) ἐπάγει 'μοῦνος ... πολλὰ μάλα' καὶ παραδίδωσι λοιπὸν τὰ τοῦ κυρίως ὄντος σημεῖα· 'ὡς ἀγένητον ... πέδησιν'. ταῦτα δὴ περὶ τοῦ κυρίως ὄντος λέγων ἐναργῶς ἀποδείκνυσιν, ὅτι ἀγένητον τοῦτο τὸ ὄν· οὔτε γὰρ ἐξ ὄντος· οὐ γὰρ προϋπῆρχεν ἄλλο ὄν· οὔτε ἐκ τοῦ μὴ ὄντος· οὐδὲ γάρ ἔστι τὸ μὴ ὄν. καὶ διὰ τί δὴ τότε, ἀλλὰ μὴ καὶ πρότερον ἢ ὕστερον ἐγένετο; ἀλλ' οὐδὲ ἐκ τοῦ πῇι μὲν ὄντος πῇι δὲ μὴ ὄντος, ὡς τὸ γενητὸν γίνεται· οὐ γὰρ ἂν τοῦ ἁπλῶς ὄντος προϋπάρχοι τὸ πῇι μὲν ὂν πῇι δὲ μὴ ὄν, ἀλλὰ μετ' αὐτὸ ὑφέστηκε. – 3–4 CLEM., Strom., V 113 (II 402, 8 St.) Π. δὲ ... ὧδέ πως περὶ τοῦ θεοῦ γράφει· 'πολλὰ

gloată fără judecată[31], în ochii căreia a fi și a nu fi e tot una și nu-i tot una, pentru care în fiecare lucru e o cale de întoarcere[32]».

7. PLATON, *Soph.*, 237 a Marele Parmenides, copile, pe când eram și noi copii, a susținut lucrul acesta de la început și până la sfârșit, proclamându-l când în proză și când în versuri: «nu, asta nu, cu nici un chip»[33], zicea el, «să fie cele ce nu sunt; ci tu...». ARISTOT., *Metaph.*, N 2.1089 a 2 Oamenilor acestora li s-a părut, într-adevăr, că toate ființele sunt una, ființa însăși, câtă vreme nu se dezleagă și se dă altă soluție argumentului lui Parmenides: «nu, asta nu...», dar că era nevoie să se demonstreze că neființa există: «Căci nicicând vreo constrângere nu va putea face[34] să fie lucrurile ce nu sunt; ci depărtează-ți cugetul de această cale de cercetare.»

7, 2–7 (altădată 1, 33–38) SEXT., VII, 114 [*ca urmare la parafraza citată la fr. 1*] Spre sfârșit lămurește că nu trebuie să se țină seamă de senzații, ci de rațiune. Nu cumva, zice, «deprinderea...» (v. 7, 3–7). Cum rezultă limpede din cele spuse, chiar și el, făcând din raționamentul științific criteriul adevărului în ce privește ființele, și-a întors mintea de la examenul senzațiilor.

8. 1–52 SIMPL., *Phys.*, 144, 29 [*după A* 21] Astfel se exprimă după ce înlătură neființa: (145) «mai rămâne...». – 8, 1–14 SIMPL., *Phys.*, 78, 5 [*după B* 7, 2]... continuă: «mai rămâne... în număr mare», după care expune caracteristicile ființei absolute: «fiind nenăscută...». Cele spuse despre ființa absolută dovedesc limpede că aceasta e increată: nu provine, într-adevăr, nici dintr-o ființă (căci altă ființă, înaintea ei, n-a fost), nici din neființă (căci neființa nu există). De ce s-a ivit atunci într-un anumit moment, și nu înainte sau după? – Nu provine însă nici din ceva ce pe de o parte există, pe de alta nu există, cum se nasc cele născute, căci ceea ce pe de o parte există, pe de alta nu există, nu poate să fi existat înaintea ființei absolute, ci s-a ivit după ea. – 3–4 CLEM., *Strom.*, V 113 (II 402, 8 St.). Despre divinitate, Parmenides scrie cam așa: «mul-

... ἀτρεμὲς ἠδ' ἀγένητον'. 38 PLATON, Theaet., 180 D ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο 'οἷον ... ὄνομ' εἶναι' καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διισχυρίζονται. 39 cf. MELISSOS B 8 εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ ... καὶ τὰ ἄλλα ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ. 42 cf. SIMPL., Phys., 147, 13 εἴπερ ἕν ἐστι 'ὁμοῦ τὸ πᾶν' (5) καὶ 'πεῖρας πύματον'. 43–45 PLATON, Soph., 244 E εἰ τοίνυν ὅλον ἐστὶν ὥσπερ καὶ Π. λέγει 'πάντοθεν .. τῆι ἢ τῆι', τοιοῦτόν γε ὂν τὸ ὂν μέσον τε καὶ ἔσχατα ἔχει. EUDEM. Ia SIMPL., Phys., 143, 4 ὥστε οὐδὲ τῶι οὐρανῶι ἐφαρμόττει τὰ παρ' αὐτοῦ λεγόμενα, ὥς τινας ὑπολαβεῖν ὁ Εὔδημός φησιν [fr. 13 Sp.] ἀκούσαντας τοῦ 'πάντοθεν ... ὄγκωι'· οὐ γὰρ ἀδιαίρετος ὁ οὐρανός, ἀλλ' οὐδὲ ὅμοιος σφαίραι, ἀλλὰ σφαῖρά ἐστιν ἡ τῶν φυσικῶν ἀκριβεστάτη. 44 ARISTOT., Phys., Γ 6. 207a 15 βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι 'μεσσόθεν ἰσοπαλές'. 50–61 SIMPL., Phys., 38, 28 συμπληρώσας γὰρ τὸν περὶ τοῦ νοητοῦ λόγον ὁ Π. ἐπάγει ταυτί ... 'ἐν τῶι ... παρελάσσηι'. 50–59 SIMPL., Phys., 30, 13 μετελθὼν δὲ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ ὁ Π. ἤτοι ἀπὸ ἀληθείας, ὡς αὐτός φησιν, ἐπὶ δόξαν ἐν οἷς λέγει 'ἐν τῶι ... ἀκούων', τῶν γενητῶν ἀρχὰς καὶ αὐτὸς στοιχειώδεις μὲν τὴν πρώτην ἀντίθεσιν ἔθετο, ἣν φῶς καλεῖ καὶ σκότος <ἢ> πῦρ καὶ γῆν ἢ πυκνὸν καὶ ἀραιὸν ἢ ταὐτὸν καὶ ἕτερον, λέγων ἐφεξῆς τοῖς πρότερον παρακειμένοις ἔπεσιν 'μορφὰς ... ἐμβριθές τε'. 52 SIMPL., Phys., 147, 28 ἀπατηλὸν καλεῖ τῶν ἐπῶν τὸν κόσμον τὸν περὶ τὰς βροτείους δόξας. 53–59 SIMPL., Phys., 179, 31 καὶ γὰρ οὗτος ἐν τοῖς πρὸς δόξαν 'θερμὸν καὶ ψυχρὸν ἀρχὰς ποιεῖ· ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν' [ARISTOT., p., 188a 20] καὶ φῶς καὶ νύκτα ἤτοι σκότος· λέγει γὰρ μετὰ τὰ περὶ ἀληθείας (p. 180) 'μορφὰς ... ἐμβριθές τε'. [Fragmentul întreg trebuie pus în legătură cu B 6].

μοῦνος δ' ἔτι μῦθος ὁδοῖο
λείπεται ὡς ἔστιν· ταύτηι δ' ἐπὶ σήματ' ἔασι

te... neclintit și nenăscut». – 38 PLATON, *Theaet.*, 180 D... alții iarăși au pretins tocmai contrariul, precum: «... poartă numele» și alte câte mai susțin cu înverșunare Melissii și Parmenizii ce se opun tuturor acestora. – 39 Cf. MELISSOS B 8... dacă există pământ și apă... și alte câte maizic oameniică suntadevărate. – 42 Cf. SIMPL., *Phys.*, 147, 13 devreme ce unul este «laolaltă totul» (5) e și o «ultimă limită». – 43–45 PLATON, *Soph.*, 244 E... dacă, așa cum zice Parmenides, e întreg «din toate părțile... ici și colo», o astfel de ființă are mijloc și extremități. EUDEM. la SIMPL., *Phys.*, 143, 4... încât ceea ce spune el nu se potrivește nici cerului, cum își i închipuie unii, după spusa lui Eudemos (fr. 13 Sp.), cu gândul la «din toate părțile asemenea...»: căcicerul nu e nici indivizibil, nici asemenea unei sfere, ci dintre toate sferele materiale cea mai exactă. – 44 ARISTOT., *Phys.*, Γ 6.207 a 15... trebuie să credem că Parmenides a grăit mai bine decât Melissos. Într-adevăr, unul zice că Totul e nesfârșit, altul că e mărginit, «deopotrivă cumpănit față de mijloc». – 50–61 SIMPL., *Phys.*, 38, 28... sfârșindu-și expunerea în jurul inteligibilului, Parmenides adaugă următoarele: «cu aceastapun capăt...». – 50–59 SIMPL., *Phys.*, 30, 13... trecând de la cele inteligibile la cele sensibile, sau, cum zice el, de la adevăr la părere, acolo unde spune: «cu acestea», Parmenides ia și el principiile lucrurilor create drept elemente, în raport cu opoziția primordială pe care o numește lumină-întuneric, sau foc-pământ, sau des-rar, sau identic-altul, afirmând în continuarea versurilor mai înainte reproduse: «au găsit cu cale să numească două forme...». – 52 SIMPL., *Phys.*, 147, 28 *Înșelătoare* numește el *potriveala cuvintelor* despre *părerile muritorilor*. 53-59 SIMPL., *Phys.*, 179, 31... și acesta, acolo unde vorbește de părere, «pune ca principii caldul și recele», numindu-le *foc* și *pământ* (ARISTOT., p. 188 a 20) și *lumină* și *noapte* sau *întuneric*. Căci iată ce zice, după ce a vorbit de adevăr (p. 180) «au găsit cu cale să numească după forme etc...» (*Fragmentul întreg trebuie pus în legătură cu B* 6).

8. Mai rămâne însă să aduc vorba despre calea ce zice că <ființa> este. De-a-lungul ei, sunt semne[35] în număr mare cum

πολλὰ μάλ᾽, ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,
οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ᾽ ἀτέλεστον·
οὐδέ ποτ᾽ ἦν οὐδ᾽ ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν,
ἕν, συνεχές· τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;
πῇι πόθεν αὐξηθέν; οὐδ᾽ ἐκ μὴ ἐόντος ἐάσσω
φάσθαι ς᾽ οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητόν
ἔστιν ὅπως οὐκ ἔστι. τί δ᾽ ἄν μιν καὶ χρέος ὦρσεν
ὕστερον ἢ πρόσθεν, τοῦ μηδενὸς ἀρξάμενον, φῦν;
οὕτως ἢ πάμπαν πελέναι χρεών ἐστιν ἢ οὐχί.
οὐδέ ποτ᾽ ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχύς
γίγνεσθαί τι παρ᾽ αὐτό· τοῦ εἵνεκεν οὔτε γενέσθαι
οὔτ᾽ ὄλλυσθαι ἀνῆκε Δίκη χαλάσασα πέδηισιν,
ἀλλ᾽ ἔχει· ἡ δὲ κρίσις περὶ τούτων ἐν τῶιδ᾽ ἔστιν·
ἔστιν ἢ οὐκ ἔστιν· κέκριται δ᾽ οὖν, ὥσπερ ἀνάγκη,
τὴν μὲν ἐᾶν ἀνόητον ἀνώνυμον (οὐ γὰρ ἀληθής
ἔστιν ὁδός), τὴν δ᾽ ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.
πῶς δ᾽ ἂν ἔπειτ᾽ ἀπόλοιτο ἐόν; πῶς δ᾽ ἄν κε γένοιτο;
εἰ γὰρ ἔγεντ᾽, οὐκ ἔστ(ι), οὐδ᾽ εἴ ποτε μέλλει ἔσεσθαι.
τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπυστος ὄλεθρος.
οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον·
οὐδέ τι τῆι μᾶλλον, τό κεν εἴργοι μιν συνέχεσθαι,
οὐδέ τι χειρότερον, πᾶν δ᾽ ἔμπλεόν ἐστιν ἐόντος.
τῶι ξυνεχὲς πᾶν ἐστιν· ἐὸν γὰρ ἐόντι πελάζει.
αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἔστιν ἄναρχον ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆλε μάλ᾽ ἐπλάχθησαν, ἀπῶσε δὲ πίστις ἀληθής.
ταὐτόν τ᾽ ἐν ταὐτῶι τε μένον καθ᾽ ἑαυτό τε κεῖται
χοὕτως ἔμπεδον αὖθι μένει· κρατερὴ γὰρ Ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει, τό μιν ἀμφὶς ἐέργει,
οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι·
ἔστι γὰρ οὐκ ἐπιδευές· [μὴ] ἐὸν δ᾽ ἂν παντὸς ἐδεῖτο.
ταὐτὸν δ᾽ ἐστὶ νοεῖν τε καὶ οὕνεκεν ἔστι νόημα.
οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ὧι πεφατισμένον ἐστιν,
εὑρήσεις τὸ νοεῖν· οὐδὲν γὰρ <ἢ> ἔστιν ἢ ἔσται

că, nenăscută fiind, aceasta e și nepieritoare, întreagă[36], neclintită și fără capăt[37]: (5) nici nu era, nici nu va fi, de vreme ce e acum laolaltă, una și neîntreruptă[38]. Ce obârșie i-ai putea găsi? Ce fel și de unde ar fi putut crește?[39] Căci n-am să te las să spui nici să gândești că <s-a putut ivi> din neființă: nu se poate, într-adevăr, spune nici gândi că ceea ce nu este <este>. Și-apoi ce nevoie ar fi putut-o face (10) – ivită din nimic – să se nască mai târziu ori mai devreme? Așa că trebuie neapărat <să credem> că este întru totul, ori că nu este.

Și iarăși niciodată tăria convingerii nu va încuviința că din neființă[40] se poate naștealtceva decâtneființă. Din această pricină, Dreptatea[41] n-a lăsat <Ființa> nici să nască nici să piară, slobozind-o din legături, (15) ci o ține bine. Hotărârea în această privință stă în alternativa: este sau nu este[42]. Hotărât e însă, cum și trebuia, că, neputând fi nici gândită nici formulată, una din căi are a fi lăsată la o parte (căci nu e calea adevărată) și că cealaltă, care zice *este*[43], e și cea adevărată. Cum ar putea, într-adevăr, să piară ceva care este, cum ar putea să se nască? (20) Căci, de s-a născut, nu este, și nici de trebuie să fie cândva în viitor. Astfel nașterea se stinge, iar pieirea e vorbă goală.

Nici divizibilă nu-i, pentru că e toată la fel: niciunde nu se află un mai mult ori un maiputin în stare să-i împiedice continuitatea, ci toată e plină de ființă. (25) În felul acesta, e în întregime continuă: <în lăuntru-i> ființa se mărginește cu ființa[44].

Ci, nemișcată în hotarele unor cumplite legături, stă fără început nici sfârșit, de vreme ce Nașterea și Moartea au fost alungate departe, gonite de convingerea adevărată[45]. Aceeași în aceeași stare zăbovind, zace în sine (30) și astfel, neclintită, rămâne locului. Amarnica Nevoie o ține în strânsoarea hotarului ce-o înconjoară din toatepărțile[46], pentru că nu-i îngăduitca ființa să fie neisprăvită: astfel se face că nu-i lipsește nimic; căci de i-ar lipsi ceva, i-ar lipsi totul.

E tot una a gândi și gândul că <ceva> este[47]; (35) doar, fără ființa în care e exprimat, nu vei găsi niciodată gândul[48]. Căci ni-

ἄλλο πάρεξ τοῦ ἐόντος, ἐπεὶ τό γε Μοῖρ᾽ ἐπέδησεν
οὖλον ἀκίνητόν τ᾽ ἔμεναι· τῶι πάντ᾽ ὄνομ(α) ἔσται,
ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ,
γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχί,
καὶ τόπον ἀλλάσσειν διά τε χρόα φανὸν ἀμείβειν.
αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελεσμένον ἐστί
πάντοθεν, εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκωι,
μεσσόθεν ἰσοπαλὲς πάντηι· τὸ γὰρ οὔτε τι μεῖζον
οὔτε τι βαιότερον πελέναι χρεόν ἐστι τῆι ἢ τῆι.
οὔτε γὰρ οὐκ ἐὸν ἔστι, τό κεν παύοι μιν ἱκνεῖσθαι
εἰς ὁμόν, οὔτ᾽ ἐὸν ἔστιν ὅπως εἴη κεν ἐόντος
τῆι μᾶλλον τῆι δ᾽ ἧσσον, ἐπεὶ πᾶν ἐστιν ἄσυλον·
οἳ γὰρ πάντοθεν ἶσον, ὁμῶς ἐν πείρασι κύρει.
ἐν τῶι σοι παύω πιστὸν λόγον ἠδὲ νόημα
ἀμφὶς ἀληθείης· δόξας δ᾽ ἀπὸ τοῦδε βροτείας
μάνθανε κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.
μορφὰς γὰρ κατέθεντο δύο γνώμας ὀνομάζειν·
τῶν μίαν οὐ χρεών ἐστιν–ἐν ὧι πεπλαντημένοι εἰσίν–
τἀντία δ᾽ ἐκρίναντο δέμας καὶ σήματ᾽ ἔθεντο
χωρὶς ἀπ᾽ ἀλλήλων, τῆι μὲν φλογὸς αἰθέριον πῦρ,
ἤπιον ὄν, μέγ᾽ [ἀραιὸν] ἐλαφρόν, ἑωυτῶι πάντοσε τωὐτόν,
τῶι δ᾽ ἑτέρωι μὴ τωὐτόν· ἀτὰρ κἀκεῖνο κατ᾽ αὐτό
τἀντία νύκτ᾽ ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε.
τόν σοι ἐγὼ διάκοσμον ἐοικότα πάντα φατίζω,
ὡς οὐ μή ποτέ τίς σε βροτῶν γνώμη παρελάσσηι.

SCHOLION la 56–59. SIMPL., Phys., 31, 3 καὶ δὴ καὶ καταλογάδην μεταξὺ τῶν ἐπῶν ἐμφέρεταί τι ῥησείδιον ὡς αὐτοῦ Παρμενίδου ἔχον οὕτως· ἐπὶ τῶιδέ ἐστι τὸ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ φάος καὶ τὸ μαλθακὸν καὶ τὸ κοῦφον, ἐπὶ δὲ τῶι πυκνῶι ὠνόμασται τὸ ψυχρὸν καὶ τὸ ζόφος καὶ σκληρὸν καὶ βαρύ· ταῦτα γὰρ ἀπεκρίθη ἑκατέρως ἑκάτερα.

9. SIMPL., Phys., 180, 8 [după fr. B 8, 59] καὶ μετ᾽ ὀλίγα πάλιν

mic nu este, nici nu va fi, afară de ființă, câtă vreme Soarta a constrâns-o să fie întreagă și nemișcată. Vorbe goale fi-vor dar toate câte au fost scornite de muritori cu gândul că-s adevărate[49]: (40) nașterea și moartea, a fi și a nu fi, schimbarea locului ori a strălucitoarelor culori.

Devreme ce <așa cum amspus> există un ultim hotar[50], acesta e împlinit de jur împrejur, asemenea massei unei sfere bine rotunjite, în toate părțile ei deopotrivă cumpănită față de mijloc[51]. Căci nu-i îngăduit <ca ființa> să fie ici sau colo cu ceva mai mare (45) sau cu ceva mai mică, câtă vreme nu există neființa, care s-o împiedice să ajungă la ceva de aceeași natură, iar ființa nu-i nici ea într-un loc mai multă, într-altul mai puțină, ci peste tot neatinsă: ca una care, fiind în aceeași măsură în fiece punct, se găsește în aceeași măsură pretutindeni înăuntrul marginilor ei.

(50) Aci întrerup vorba-mi vrednică de crezare și gândul despre adevăr. De-acum, ascultând potriveala înșelătoare a cuvintelor mele, învață să cunoști părerile muritorilor[52]. Aceștia au găsit cu cale să numească două forme (dintre care, de una nu era nevoie[53], – aci stă greșeala lor); (55) au despărțit aparența în aspectele-i opuse și i-au dat semne de recunoaștere osebite între ele: de-o parte cereasca vâlvătaie a focului binefăcător, din cale-afară de ușor, identic cu sine în toate părțile lui (nu însă și cu altul); de cealaltă, – de capul său, – ceva tocmai dimpotrivă: noaptea întunecoasă[54], deasă și greoaie la înfățișare. (60) Această orânduire[55], întru totul asemenea aparenței, ți-o semnalez, pentru ca nicicând să nu te amăgească părerea muritorilor...»

9. SIMPL., *Phys.*, 180, 8 [*după B* 8, 59]... iar după puțin: «după

'αὐτὰρ ... μηδέν'. εἰ δὲ 'μηδετέρωι μέτα μηδέν' καὶ ὅτι ἀρχαὶ ἄμφω καὶ ὅτι ἐναντίαι δηλοῦται.

αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται
καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς,
πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου
ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρωι μέτα μηδέν.

10. CLEM., Strom., V 138 (II 419, 12 St.) ἀφικόμενος οὖν ἐπὶ τὴν ἀληθῆ μάθησιν [a lui Christos] ὁ βουλόμενος ἀκουέτω μὲν Παρμενίδου τοῦ Ἐλεάτου ὑπισχνουμένου 'εἴσηι ... ἄστρων'. Cf. PLUT., Adv. col. 1114 B [Parmenides] ὅς γε καὶ διάκοσμον πεποίηται καὶ στοιχεῖα μιγνὺς τὸ λαμπρὸν καὶ σκοτεινὸν ἐκ τούτων τὰ φαινόμενα πάντα καὶ διὰ τούτων ἀποτελεῖ· καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ καὶ περὶ οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ γένεσιν ἀνθρώπων ἀφήγηται· καὶ οὐδὲν ἄρρητον, ὡς ἀνὴρ ἀρχαῖος ἐν φυσιολογίαι καὶ συνθεὶς γραφὴν ἰδίαν, οὐκ ἀλλοτρίας διαφθοράν, τῶν κυρίων παρῆκεν.

εἴσηι δ' αἰθερίαν τε φύσιν τά τ' ἐν αἰθέρι πάντα
σήματα καὶ καθαρᾶς εὐαγέος ἠελίοιο
λαμπάδος ἔργ' ἀίδηλα καὶ ὁππόθεν ἐξεγένοντο,
ἔργα τε κύκλωπος περίφοιτα σελήνης
καὶ φύσιν, εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα
ἔνθεν [μὲν γὰρ] ἔφυ τε καὶ ὥς μιν ἄγουσ(α) ἐπέδησεν
Ἀνάγκη
πείρατ' ἔχειν ἄστρων.

11. SIMPL., De caelo., 559, 20 Π. δὲ περὶ τῶν αἰσθητῶν ἄρξασθαί φησι λέγειν·

πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη
αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄλυμπος
ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν
γίγνεσθαι.

ce... alta». Dacă însă «nimic nu ține de una sau de alta», vrea să spună că amândouă sunt principii și că sunt contrare.

«După ce totul a căpătat numele[56] de lumină și întuneric, iar aceste denumiri – potrivit puterilor[57] fiecăreia – s-au aplicat unui lucru sau altul, totul e deopotrivă plin de lumină și de nevăzută noapte, amândouă egale de vreme ce nimic nu ține <exclusiv> de una sau de alta»[58].

10. CLEM., *Strom.*, V 138 (II 419, 12 St.)... odată ajuns la adevărata învățătură [*a lui Christos*], asculte cine vrea făgăduielile eleatului Parmenides: «cunoaște-vei...». Cf. Plut., *adv. Col.*, 1114 B... Care [*Parmenides*] elaborând o explicație a lumii și amestecând –ca elemente – lumina și întunericul, face să derive din acestea și prin acestea toate cele văzute. Așijderi spune multe despre Pământ, despre cer, despre Soare, despre Lună și despre stele, și lămurește nașterea oamenilor; ba, ca vechi cercetător în ale naturii, care a compus <în acest domeniu> o scriere originală, iar nu o vulgarizare a unor scrieri străine, n-a lăsat netratat nici unul din subiectele importante.

«Cunoaște-vei natura văzduhului și toate semnele câte sunt în el și tainicele căi[59] ale curatei făclii a mândrului[60] Soare, – și care li-i obârșia; afla-vei înrâurirea și firea rătăcitoare a Luniicea cu ochiul rotund; cunoaște-vei și cerul atoatecuprinzător, de unde s-a ivit și ce fel – cârmuindu-l – Nevoia l-a legat, ca să păzească hotarele stelelor...»[61].

11. SIMPL., *De caelo*, 559, 20 Despre lucrurile sensibile, Parmenides zice că începe a spune:

«în ce fel Pământul și Soarele și Luna și văzduhul atoatecuprinzător[62] și Laptele ceresc și depărtatul Olymp[63] și fierbintea tărie a stelelor au prins a lua ființă», – după care înfățișează face-

καὶ τῶν γινομένων καὶ φθειρομένων μέχρι τῶν μορίων τῶν ζώιων τὴν γένεσιν παραδίδωσι.

